UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ioannis Can||tacvzeni Constantinopo-||litani Regis Contra Mahometicam || fidem Christiana & orthodoxa assertio

**Johannes**

**Basileae, 1543**

**VD16 VD16 J 376**

Οτι Μετα Την Του Κυριου Αναδηψιν, Οι Δωδεκα Μαθηται Αυτου Γα[...]αν Την ...

urn:nbn:de:hbz:466:1-98189

Visual Library

φητεία αὕτη, ἵνα καὶ τὴν πάντη ἀνόητον ἀγάγῃ εἰς αἴσθησιν, καὶ νόησιν, ὅτι αὐτός ἐστιν ὁ χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὁ ἀναβιβάσας τὸν ἄνθρωπον, ὃν ἀνελάβετο, καὶ ἀνήγαγεν ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ τῷ θεῷ καὶ πατρὶ αὐτοῦ. καὶ αὐτῷ ἐδόθη ἡ τιμή, καὶ ἡ ἀρχή, καὶ ἡ βασιλεία, καὶ αὐτῷ προσεκύνησαν πάντες ἄγγελοι θεοῦ, καὶ αὐτῷ προσεκύνησαν πᾶσαι αἱ φυλαὶ καὶ γλῶσσαι, καθὼς καὶ ἐν τοῖς ἔμπροσθεν οἱ προφῆται ἐκήρυξαν. καὶ αὐτός ἐστιν ὁ καθίσας ἐκ δεξιῶν τοῦ θεοῦ, ὡς ὁ δαβὶδ λέγει. καὶ αὐτοῦ ἐστιν ἡ αἰώνιος βασιλεία, ἥτις οὐ παρελεύσεται. καὶ αὐτοῦ ἐστιν ἡ ἐξουσία, ἥτις οὐ διαφθαρήσεται, ἑτέρου δὲ ἀνθρώπου οὐδαμῶς. οὐδὲ γὰρ ἐγεννήθη πρὸ τοῦ ἡλίου ἄνθρωπος, ἀλλ' ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, καθὸ θεός, οὐ καθὸ ἄνθρωπος. οὐδὲ γὰρ δύναται ἔχειν ἐξουσίαν αἰώνιον ἄνθρωπος, οὐδὲ βασιλείαν ἀσάλευτον ἄλλος, ἀλλ' ἢ μόνον ὁ ἄνθρωπος, ὃν ἀνελάβετο ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, καὶ ἔστιν ἀχώριστος αὐτοῦ. ταῦτα πάντα ἰδὼν ὁ δανιήλ, καὶ θαυμάσας μὲν ὡς εἰκός, μὴ δυνηθεὶς δὲ κατανοῆσαι τὸ μέγα καὶ παράδοξον τοῦτο θαῦμα καὶ μυστήριον, εἶπεν, ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ δανιὴλ ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με. ὃν δὲ ἰδὼν δανιὴλ ὁ μέγας, ἔφριξε τὸ πνεῦμα αὐτοῦ, καὶ συνεταράχθησαν αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ, τοῦτον οἱ μουσουλμάνοι οὐχ ὁμολογοῦσι θεόν. καὶ τίς οὕτως ἀναίσθητος, ὅστις οὐ μὴ καταγνώσεται ὑπερβαλλόντως αὐτῶν;

## ΟΤΙ ΜΕΤΑ ΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΑΝΑΛΗΨΙΝ, ΟΙ ΔΩΔΕΚΑ ΜΑΘΗΤΑΙ ΑΥΤΟΥ ΠΑΣΑΝ ΤΗΝ ΟΙκουμένην ἐδίδαξαν τοῖς θαύμασι πιστούμενοι, καὶ περὶ τῆς ἀεὶ παρθένου θεοτόκου, ἔπι τε περὶ τῆς τοῦ χριστοῦ ἐρωτήσεως, καὶ τοῦ σταυροῦ, καὶ τῶν εἰκόνων.

### ΑΠΟΛΟΓΙΑ ΤΡΙΤΗ.

ΟΤΙ μὲν ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ καὶ θεὸς καὶ ἄνθρωπος ἐκηρύχθη παρὰ τῶν ἁγίων καὶ προφητῶν, ἀλλὰ δὴ καὶ παρ' αὐτοῦ τοῦ θεοῦ καὶ πατρός, ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται. φέρε δὴ λοιπὸν ἐξετάσαντες, ἴδωμεν καὶ περὶ πάντων τῶν μετὰ ταῦτα ἐπακολουθησάντων πραγμάτων. προειπὼν γὰρ ὁ χριστός, ὅτι ἰδοὺ ἀναβαίνω πρὸς τὸν πατέρα μου ἐν τῇ ὥρᾳ τῆς αὐτοῦ ἀναλήψεως, λέγει τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. ὁ πιστεύσας καὶ βαπτισθείς, σωθήσεται. ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε τὴν ἐξ ὕψους δύναμιν. καὶ προσκυνήσαντες αὐτὸν ἀπῆλθον. καὶ μεθ' ἡμέρας τινάς, καθημένων ὁμοθυμαδὸν τῶν ἀποστόλων, ἐγένετο ἦχος ὥσπερ σφοδροῦ τινὸς πνεύματος, καὶ ἐνεπλήσθησαν ἅπαντες θείας χάριτος, οὐχ ὡς ἀδυνάτως ἔχοντος τοῦ χριστοῦ δοῦναι αὐτοῖς τὴν χάριν, ἔτι εὑρισκομένου αὐτοῦ ἐν τῇ γῇ, ἀλλ' ἵνα γνῶσι πάντες, ὅτι εἷς θεός ἐστιν ὁ πατὴρ καὶ ὁ υἱός, καὶ μία καὶ ἡ αὐτή ἐστι τοῦ τε πατρὸς καὶ τοῦ υἱοῦ φύσις καὶ δύναμις. ἔδωκε μὲν ὁ χριστὸς ἔτι ἐν τῇ γῇ ὤν, πρὸς τοὺς ἀποστόλους δύναμιν καὶ ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, τουτέστι τοῦ διαβόλου. ἀπέστειλε δὲ καὶ ὁ θεὸς καὶ πατὴρ τὴν χάριν αὐτοῦ εἰς αὐτούς. καὶ ἐμπλησθέντες, ὡς εἴρηται, οἱ ἀπόστολοι θείας χάριτος, ἔγνωσαν τὰ ὑπὲρ φύσιν ἕκαστος αὐτῶν, πᾶσαν γλῶσσαν παντὸς γένους τῶν ὑπὸ τὸν οὐρανὸν μετὰ πάσης ἀκριβείας. καὶ σκόπει διατί; ὅτι ἐνεχειρίσθησαν τὴν τῆς οἰκουμένης διδασκαλίαν καὶ προστασίαν, ἐδόθη πρὸς αὐτοὺς ἡ τῶν γλωσσῶν γνῶσις, ἵνα μὴ ἔχωσι χρείαν ἑρμηνέως, ἀλλ' αὐτοὶ εὑρίσκονται καὶ ἑρμηνεῖς καὶ διδάσκαλοι, καὶ ἤρξαντο διδάσκειν ἀρξάμενοι ἀπὸ ἱερουσαλήμ. οὕτω γὰρ γέγραπται διὰ τοῦ ἡσαΐου, ἐκ σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλήμ. οἱ γοῦν ἰουδαῖοι ἔτι πεπωρωμένην ἔχοντες τὴν καρδίαν, οὐ συνῆκαν. καὶ ἐπληρώθη ἐπ' αὐτοῖς τὸ ἐν τῷ νόμῳ γεγραμμένον, τὸ ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος. καὶ ἔλεγον διδάσκοντες οἱ ἀπόστολοι τὸν λαόν, ὅπως πιστεύσωσιν εἰς τὸν χριστόν, καὶ ὁμολογῶσιν, ὅτι οὗτος ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἐγίνοντο διὰ τῶν ἀποστόλων θαύματα καὶ τεράστια ἄπειρα, οὐχ οὕτως αὐθεντικῶς καὶ ἐξουσιαστικῶς ὥσπερ ἐποίησεν ὁ χριστός, ἀλλ' ὡς δοῦλοι καὶ ὑπηρέται. μετὰ γὰρ τοῦ ὀνόματος τοῦ χριστοῦ ἐθαυματούργουν,

οὕτω λέγοντες, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνάβλεψον, καὶ ἀνέβλεψεν ὁ τυφλός. ἐν τῷ ὀνόματι
Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἔγειραι ὁ νεκρός, καὶ ἀνίστατο. τὸ αὐτὸ ἔλεγον, καὶ ἐθεραπεύετο ὁ παράλυ
τος. καὶ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ἐθεράπευον πᾶσαν νόσον, καὶ ἐπίστευον καθημέραν πλήθη ἀπει
ρα εἰς τὸν Χριστόν. εἶτα μερισθέντες οἱ δώδεκα ἀπόστολοι, διέδραμον ἐπὶ πᾶσαν τὴν γῆν, καὶ ἐ-
ποίησαν οἱ ἀσεβεῖς πολλὰ κακὰ καὶ ἐναντία εἰς αὐτούς, καὶ εἰς τοὺς πιστεύοντας εἰς τὸν Χριστόν, καὶ
ἀπέκτεινον καθημέραν ἐν διαφόροις τόποις πλήθη Χριστιανῶν ἀναρίθμητα. καὶ γὰρ ἅπας ὁ
κόσμος εἰδωλολάτρει. εἷς Χριστιανὸς ἐφονεύετο, καὶ δέκα ἤρχοντο ἐνώπιον τῶν τυράννων. δέκα
ἀπέθνησκον, καὶ ἑκατὸν ἤρχοντο, χίλιοι, δισχίλιοι, δέκα χιλιάδες, εἴκοσι χιλιάδες ἤρχοντο
εἰς τὸ μαρτύριον. ἵνα δὲ μὴ δόξωσιν εἰς τοὺς πολλοὺς οἱ λόγοι μου ψευδεῖς, λέγω μᾶλλον ἐλάτ-
τους τῆς ἀληθείας. καὶ γὰρ πολλάκις ἐπίστευον τὴν ἡμέραν πεντήκοντα χιλιάδες, καὶ ἐπέκεινα.
καὶ ὥσπερ ἀπὸ τῶν κτισμάτων ἦλθεν ὁ δίκαιος Ἀβραὰμ εἰς τὴν ἀληθῆ γνῶσιν, καὶ προσεκύνησε,
καὶ ἐδούλευσε τῷ μόνῳ φύσει ὄντι θεῷ, οὕτω δὴ ἀπὸ τῶν τοῦ Χριστοῦ θαυμάτων καὶ τῶν ἀποστόλων ἦλθον
τὰ ἔθνη ὁμοίως εἰς τὴν τῆς ἀληθείας κατάληψιν, καὶ προσεκύνησαν καὶ ὡμολόγησαν δικαίως,
ὅτι αὐτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός, αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἀληθὴς
θεός. πόθεν οὖν ἐγένετο τοῦτο; ἀπὸ ποίας δυνάμεως καὶ ἰσχύος; ἀπὸ ποίου πλούτου καὶ μεγαλείου; ἀπὸ
ποίων φιλοσόφων καὶ ῥητόρων; πάντως ἀπ' οὐδενός, ἢ ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως, ἣν ἐνεδύσαντο οἱ
δώδεκα ἀπόστολοι, οἱ ἀμαθεῖς, οἱ ἄγροικοι, οἱ ἀσθενεῖς. οὕτω γὰρ εἴρηκεν ὁ Χριστὸς πρὸς αὐτούς,
ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων, μὴ μεριμνήσητε οὖν τί εἴπητε, ἢ τί λα=
λήσητε ἔμπροσθεν αὐτῶν. ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι, οὐδὲ
ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι ὑμῖν. καὶ οὕτω ἐγένετο. πάντες οἱ φιλόσοφοι, πάντες οἱ ῥή=
τορες, πάντες οἱ μάγοι οὕτω ἐφαίνοντο ἔμπροσθεν τῶν ἀποστόλων, ὡς ἰχθύες ἄφωνοι. τότε ἐπλη=
ρώθη ἡ τοῦ Δαβὶδ προφητεία, ἡ λέγουσα, καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων,
καὶ οὐκ ᾐσχυνόμην. ἀλλὰ δὴ καὶ τοῦ Ἠσαΐου, ἡ λέγουσα ὁμοίως, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομέ
νων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. ἐμερίσθησαν γὰρ οἱ ἀπόστολοι, καὶ διεσπάρησαν
εἰς πᾶσαν τὴν γῆν, καὶ ἐδίδαξεν εἷς ἕκαστος τὸ εὐαγγέλιον εἰς ὃν τόπον ἀπῆλθε. καὶ ἐπληρώθη
ἡ τοῦ Δαβὶδ προφητεία, ἡ λέγουσα, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα
τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. σκέψαι γοῦν καὶ ἴδε, καὶ πρόσεχον ἀκριβῶς, ὅτι ἅπαντα ὅσα ἐ=
γράφησαν ἐνταῦθα, οὐδεμία καὶ μόνη λέξις ἐγράφη ἀπ' ἀλλαχόθεν, ἀλλ' ἢ ἀπὸ τοῦ Μωϋσέως,
ἀπὸ τῶν προφητῶν, ἀπὸ τοῦ Δαβίδ, καὶ ἀπὸ τοῦ εὐαγγελίου, ἅπερ καὶ ὀφείλει ἅπας μουσουλμάνος
ἵνα στέργῃ, ὡς ἅγια, καὶ δίκαια, καὶ καλά. αὐτὸς γὰρ ὁ Μωάμεθ, ὃν ἔχουσι πάντες οἱ μουσουλ
μάνοι διδάσκαλον, αὐτὸς οὐκ ἠδυνήθη, ἵνα κρύψῃ παντελῶς τὴν ἀλήθειαν, καὶ μαρ=
τυρεῖ τὰς βίβλους ἁγίας. ἐὰν γοῦν τὰς βίβλους μὲν λέγωσιν ἁγίας καὶ καλάς, τὰ δὲ λεγό
μενα ἐν αὐταῖς ἀθετῶσιν οἱ μουσουλμάνοι, πάντως δέον ἐστίν, ἵνα πᾶς ἄνθρωπος κατηγο
ρήσῃ, μᾶλλον δὲ εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, ἐλεήσῃ αὐτοὺς ὡς μαινομένους. ὅτι ὑμεῖς ἔχοντες το=
σαύτας καὶ τηλικαύτας ἀφορμάς, ὥστε εὑρεῖν τὴν ἀλήθειαν, καὶ γνῶναι ὅτι ὁ Χριστὸς υἱὸς καὶ λό
γος τοῦ θεοῦ ἐστιν, ἀφέντες τὴν τῆς ἀληθείας ὁδόν, ἐπλανήθητε ἀστοχήσαντες. ἀλλ' ἐπανιτέον ὅθεν
ἐξήλθομεν. οἱ τοίνυν διώκοντες καὶ τυραννοῦντες τοὺς ἀποστόλους, ἐπίστευον εἰς τὸν Χριστόν, καὶ ὡμο
λόγουν, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, καὶ ἀντὶ τῶν ἀποστόλων μᾶλλον ἐγένοντο ἐκεῖνοι κή-
ρυκες τοῦ ὀνόματος τοῦ Χριστοῦ. καὶ ὅτι μὲν πάντες οἱ ἀπόστολοι τὸν διὰ μαρτυρίου θάνατον ἀπέθνησκον,
τοῦτο οὕτως ἔχει. ἀλλ' οὐκ ἐτυράννουν οἱ ἀσεβεῖς ἐκείνους, ὅσον τοὺς ὑποστρέφοντας ἀπὸ τῆς εἰδωλολατρεί
ας εἰς τὸν Χριστόν. μεγάλας καὶ γὰρ τιμωρίας ἐποίουν εἰς αὐτούς, μεληδὸν κατέτεμνον τούτους, καὶ ὡς
ἐν ῥοπῇ μιᾷ εὑρίσκοντο σῷοι καὶ ἀκέραιοι. εἰς τὰς καμίνους ἐνέβαλον, καὶ ὡς ἐν ὕδατι εἰσερχό
μενοι ἐφυλάσσοντο. μόλυβδον πεπυρακτωμένον ἐπότιζον αὐτούς, καὶ οὐκ ἐβλάπτοντο. εἰς τὸν τῆς
θαλάσσης βυθὸν ἔρριπτον, καὶ εἰς τὴν χέρσον εὑρίσκοντο. καὶ τίς δυνήσεται ὡς ἔπος εἰπεῖν ἐξαριθμή
σασθαι καὶ εἰπεῖν τὰς τῶν μαρτύρων βασάνους καὶ τὰ τερατούργια; τέλος τοίνυν ἀπέθνησκον, καὶ ἐλο
γίζοντο τὰς μὲν βασάνους τρυφάς, τὸν δὲ θάνατον ζωήν. καὶ ἐδείκνυεν ὁ Χριστὸς διὰ τῶν μαρτύρων τὴν
αὐτοῦ θεότητά τε καὶ δύναμιν, ἀλλὰ καὶ τὴν πίστιν καὶ τὸν πόθον αὐτῶν, ὃν εἶχον εἰς αὐτόν. διὰ μὲν
οὖν τὸ φυλάττεσθαι σώους καὶ ἀβλαβεῖς τοὺς μάρτυρας, ἐφαίνετο ἡ τοῦ Χριστοῦ δύναμις καὶ θεότης. διὰ
δὲ

δὲ τοῦ θανάτου ὃν ἀπέθνησκον, ἐνδεικνύοντες ἡ εἰς τὸν χριστὸν πίστις τε καὶ ἀγάπη αὐτῶν. ὡς ἂν ἐντεῦθεν ἀπὸ τούτου διδαχθῇ ἔτι καθαρώτερον, τὸ δοκίμιον τῆς ἀνδρείας τῶν ἀγωνιζομένων, καὶ ἡ τούτων πίστις ὡς πυρσὸς ἀναλάμψῃ. ὁ γὰρ φυλάξας αὐτοὺς ἀβλαβεῖς ἐκ τῶν τοσούτων καὶ τοιούτων πειρατηρίων, ἠδύνατο πάντως ποιῆσαι ἵνα μὴ ἀποθάνωσιν. ἀλλ' ὥσπερ ἐν τῷ ἰδίῳ σώματι πεποίηκεν ὁ χριστός, ὅτι διὰ μόνης πρὸς τοὺς ἑβραίους ἐρωτήσεως, ὅτι τίνα ζητεῖτε, εὑρέθησαν πάντες πεσόντες. διὰ δὲ τὸ εἰπεῖν αὐτοῖς, ὅτι ἄφετε τούτους ὑπάγειν, ἀφῆκαν τοὺς μαθητάς, καὶ παρέλαβον τὸν χριστόν. καὶ ὡς ἐν τούτῳ ἐφάνη καὶ ἡ δύναμις αὐτοῦ καὶ ἡ θέλησις, οὕτω καὶ ἐπὶ τῶν μαρτύρων. ἐφυλάσσοντο μὲν γὰρ ἀβλαβεῖς ὑπὸ τῆς θείας δυνάμεως καὶ ἐξουσίας, ἀπὸ τῶν μεγάλων τιμωριῶν καὶ βασάνων. ἀπέθνησκον δὲ ὅμως, ἵνα φανῇ ἡ εἰς τὸν χριστὸν πίστις αὐτῶν, καὶ ζῶσιν εἰς ἀπεράντους αἰῶνας τὴν ὄντως μακαρίαν ζωὴν καὶ ἀθάνατον. ταῦτα πάντα ἰδόντες οἱ προσκυνοῦντες τοῖς εἰδώλοις, καὶ κατανοήσαντες ὅτι τὰ γινόμενα οὐκ εἰσὶ φυσικῆς ἀκολουθίας ἔργα, ἀλλ' ὑπὲρ φύσιν εἰσί, καὶ θεός ἐστιν ὁ τούτων ἐνεργῶν, μετεστράφησαν πάντες οἱ βασιλεῖς, πάντες οἱ τοπάρχαι, πάντες οἱ τύραννοι, ἅπαν τὸ πλῆθος τῆς γῆς καὶ θαλάσσης, καὶ προσεκύνησαν καὶ ὡμολόγησαν καὶ ἐπίστευσαν, ὅτι υἱὸς τοῦ θεοῦ καὶ θεὸς ἀληθινός ἐστιν ὁ χριστός. καὶ ἐπληρώθη ἡ τοῦ δαβὶδ προφητεία, ἀλλὰ δὴ καὶ τῶν ἑτέρων προφητῶν, ἡ λέγουσα, ὅτι προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς· πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. ἐὰν δὲ εὑρίσκωνται καὶ τινές, οἱ μὴ πιστεύοντες τὸν χριστὸν ὅτι ἐστὶν υἱὸς θεοῦ, οὐ διὰ τοῦτο ἐψεύσαντο οἱ προφῆται, ἀλλ' ὥσπερ μὲν ἥλιος λέγεται φωτίζειν πᾶσαν τὴν οἰκουμένην, καὶ οὕτως γάρ ἐστιν, οἱ δὲ τυφλώττοντες ἥλιον οὐχ ὁρῶσιν, οὔτε μὴν φωτίζονται παρ' αὐτοῦ, οὕτω καὶ ἐπὶ τοῦ χριστοῦ. πάντες οἱ βασιλεῖς τῆς γῆς, καὶ πᾶσα ἡ οἰκουμένη προσεκύνησεν αὐτῷ, καὶ θεὸν αὐτὸν ὡμολόγησεν. οἱ δὲ μὴ προσκυνοῦντες αὐτόν, ἢ πρότερον μὲν προσκυνήσαντες, ὕστερον δὲ μεταμεληθέντες καὶ δοξάσαντες δόγματα ἀσεβείας, τότε ἵνα γνῶσι τὴν ἀλήθειαν, ὅταν οὐκ ὠφεληθῶσι. πῶς; ὅτι ζῶν πᾶς ἄνθρωπος ποιεῖ καὶ πράττει περὶ αὐτοῦ ὅσα βούλεται καὶ προαιρεῖται, εἴτε ἔργα εἰς σωτηρίαν αὐτοῦ, εἴτε εἰς καταδίκην καὶ κόλασιν. μετάνοια δὲ οὐκ ἔστι μετὰ θάνατον. ἐὰν γοῦν οἱ μὴ πιστεύοντες εἰς τὸν χριστὸν ἔλθωσιν εἰς αἴσθησιν τοῦ καλοῦ, καὶ πιστεύσωσιν εἰς αὐτόν, ἰδοὺ εὗρον τὴν τῆς ἀληθείας ὁδόν, καὶ ἐκληρονόμησαν τὴν σωτηρίαν αὐτοῦ. εἰ δ' ἔτι ἐπιμένωσι τῇ ἀσεβείᾳ αὐτῶν, τὸ ἑξῆς ὁ νοῶν νοείτω. ἀλλὰ καὶ δαβὶδ πάλιν οὑτωσί φησι, πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ψάλλετε τῷ θεῷ ἡμῶν, ψάλλετε. ψάλλετε τῷ βασιλεῖ ἡμῶν, ψάλλετε, ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός. ψάλλετε συνετῶς, ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη. ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ ἀβραάμ, ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. καὶ σκόπει ἀκριβῶς τὰ λεγόμενα. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε ἐν φωνῇ ἀγαλλιάσεως τῷ θεῷ. οὐ τοὺς ἰουδαίους προσκαλεῖται μόνους, οὐ τοὺς ἰσμαηλίτας, οὐ τοὺς κατοικοῦντας ἐν μέρει τῆς οἰκουμένης, ἀλλὰ πᾶσαν τὴν ὑφ' ἥλιον προσκαλεῖται εἰς ταύτην τὴν πνευματικὴν ἀγαλλίασιν. ἐν γὰρ τῷ εἰπεῖν πάντα τὰ ἔθνη, οὐδένα τῶν ἀνθρώπων ἀφῆκεν ἐκτὸς τῶν πάντων. διατί; ὅτι κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ἀλλ' ἐρεῖ τις, καὶ ποτὲ οὐκ ἦν ὁ θεὸς ὕψιστος, ὦ μακάριε δαβίδ, καὶ ποτὲ οὐκ ἦν φοβερὸς καὶ μέγας; ψάλλετε τῷ θεῷ ἡμῶν, ψάλλετε. ψάλλετε τῷ βασιλεῖ ἡμῶν, ψάλλετε. ἰδοὺ καὶ πάλιν τὸ ἄπορον ἄπορον. ἐρωτηθεὶς ποτὲ οὐκ ἦν ὁ θεὸς ὕψιστος καὶ μέγας καὶ φοβερός, ἀπεκρίνη, ὅτι ψάλλετε τῷ θεῷ ἡμῶν, ψάλλετε, ψάλλετε τῷ βασιλεῖ ἡμῶν, ψάλλετε. καὶ πάλιν ὁ δαβίδ, ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός, ψάλλετε συνετῶς. ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη, ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ ἀβραάμ, ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. καὶ λοιπὸν δεῦρο δή, δεῦρο, σκεψώμεθα. τί βούλεται τὸ προφητικὸν λόγιον; ἡ ψαλμῳδία, ὕμνος ἐστὶν ἐμμελὴς τῷ θεῷ ἀφιερωμένος. καὶ ὥσπερ ἀπὸ τροπαίου καὶ νίκης ἐπανελθών τις, ὑπὸ μεγάλης χαρᾶς οὐδὲν ἕτερον λέγει, ἢ ὅτι νενικήκαμεν τοὺς ἐχθρούς. καὶ αὖθις ἐρωτώμενος, πῶς καὶ τίνι τρόπῳ γέγονε τὰ τῆς νίκης; πάλιν τὰ αὐτὰ ἀποκρίνεται, ὅτι ἐνικήκαμεν, ἐνικήκαμεν. τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ προφήτης,

νεκροῖς ἰδὼν ὄμμασι τὴν τῶν ἐθνῶν ἐπιστροφὴν, ἔκραξε, πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. τουτέστι, καὶ οἱ πρώην πιστοὶ, καὶ οἱ μετὰ ταῦτα πιστεύσαντες, πάντες ὁμοῦ κροτήσατε χεῖρας. οὐχ οὕτως ἁπλῶς ἀσκόπως καὶ ἀτάκτως κροτήσατε τὰς χεῖρας ὑμῶν, ἀλλ' ἐν φωνῇ ἀγαλλιάσεως καὶ εὐφροσύνης. διά τοι τοῦτο καὶ ὁ προφήτης ἔνθους ὑφ' ἡδονῆς γενόμενος ἔλεγε, ψάλλετε τῷ θεῷ ἡμῶν, ψάλλετε. ψάλλετε τῷ βασιλεῖ ἡμῶν, ψάλλετε. ὅτι κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. καὶ ὥσπερ αὐτὸς ἐξηγούμενος τὰ ἑαυτοῦ ῥήματα λέγει, ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη. τουτέστιν, ὅτι τὰ πρότερον ὑπὸ τοῦ διαβόλου τυραννούμενα ἔθνη, νῦν καταλιπόντα τοὺς πατρῴους αὐτῶν θεοὺς, τὰ ἄψυχα εἴδωλα καὶ κωφὰ ὑπέκλιναν καὶ προσεκύνησαν, καὶ ἐπίστευσαν τῷ μόνῳ ἀληθεῖ καὶ ζῶντι θεῷ, καὶ ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἐγένοντο. οὐδὲ γὰρ ἄξιοι τῆς τοῦ θεοῦ βασιλείας εὑρίσκοντο. ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. πᾶς θρόνος δηλοῖ δόξαν καὶ ἀνάπαυσιν. καὶ ἐπεὶ πρότερον μὲν ὁ θεὸς οὐκ ἐδοξάζετο παρὰ τῶν ἐθνῶν, ἀλλὰ παρὰ μόνων τῶν ἀγγέλων καὶ τῶν ἁγίων, ἐστερημένα τὰ ἔθνη τῆς δόξης τοῦ θεοῦ, νῦν δὲ προσελθόντα ἀπολαυόμενοι πάντες τῆς δόξης τοῦ θεοῦ, καὶ ἐπανεπαύθη ὁ θεὸς ἐν τοῖς ἔθνεσιν. ἐπεὶ δὲ καὶ ὁ τῶν ἀνθρώπων θρόνος ἔχει τὴν δόξαν καὶ τὴν τιμὴν, ἀλλὰ δὴ καὶ τὴν ἀνάπαυσιν, τὴν δὲ ἀναμαρτησίαν οὐκ ἔστι δυνατὸν ἔχειν, προσέθηκε τὸ ἐπὶ θρόνου ἁγίου αὐτοῦ. τὰ γὰρ ἀνθρώπινα μετὰ τοῦ σφαλεροῦ καὶ ἐφαμάρτου, ἔχουσι καὶ τὸ ἐξωτερικὸν, ὡς ἐν τῇ πρώτῃ ἀπολογίᾳ εἰρήκαμεν. ὁ δὲ τοῦ θεοῦ θρόνος καὶ ὑψηλὸς, καὶ ἐπηρμένος, καὶ ἅγιός ἐστι, καὶ φυσικὸν καὶ ἀχώριστον ἔχει τὸ μεγαλεῖον αὐτοῦ, καὶ τὴν δόξαν. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ ἀβραάμ. τίνες εἰσὶν οἱ συναχθέντες ἄρχοντες; οἱ βασιλεῖς τῆς γῆς, οἱ τοπάρχαι, οἵ τε μικροὶ καὶ μεγάλοι. καὶ τίς ἐστιν ὁ τοῦ ἀβραὰμ θεός; μὴ ἕτερός ἐστι παρὰ τὸν τῶν ὅλων θεὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ διὰ τοῦτο ἴδιον αὐτοῦ καλεῖ τοῦ ἀβραάμ; ἄπαγε τῆς βλασφημίας. οὐχὶ, ἀλλὰ τὸν μὲν, ἐπὶ κύριον καὶ κριτὴν πάσης τῆς γῆς, καὶ ἐλεοῦντα καὶ ὀργιζόμενον ἐκάλεσεν ἀβραὰμ, τὸν ἐπὶ τῇ καταστροφῇ τῶν σοδόμων ὀφθέντα αὐτῷ, καὶ γῆν καὶ σποδὸν ἔκρινεν ἑαυτὸν ἔμπροσθεν ἐκείνου, ὃς ἦν ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὡς ἐν τοῖς ἔμπροσθεν ἀπεδείχθη, καὶ ἔτι φανήσεται. τὸ δὲ, ὅτι ὥσπερ πιστεύσαντος τοῦ ἀβραὰμ τῷ θεῷ, ἐλογίσθη ἡ τούτου πίστις εἰς δικαιοσύνην, οὕτω καὶ πάντα τὰ ἔθνη καταλιπόντα τὸ πάτριον σέβας, μᾶλλον δὲ τὸ ἀληθὲς εἰπεῖν, τὸ μάταιον καὶ πεπλανημένον, καὶ ἐπιστρέψαντα ἐπὶ τὸν ἀληθῆ θεὸν, καὶ ὁμολογήσαντα τὸν χριστὸν υἱὸν θεοῦ, καὶ θεὸν ἀληθινὸν, ἐλογίσθη καὶ αὐτῶν ἡ πίστις εἰς δικαιοσύνην, ὥσπερ τῷ ἀβραὰμ, καὶ ἀφείθησαν πᾶσαι αἱ ἀνομίαι αὐτῶν, πᾶσαι αἱ ἀσέβειαι, πᾶσαι αἱ ἁμαρτίαι. ἔτι εἰπόντος τοῦ θεοῦ τότε τῷ ἀβραὰμ, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, καὶ ἔτι ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη. προκατιδὼν ὁ προφήτης, ὅτι ὅσον οὔπω πληροῦται ὁ πρὸς τὸν ἀβραὰμ τοῦ θεοῦ λόγος, ἐπιστραφέντα καὶ γὰρ πάντα τὰ ἔθνη γεγόνασι τέκνα τοῦ ἀβραὰμ, καὶ διὰ τῆς εἰς τὸν χριστὸν πίστεως, ὅς ἐστι σπέρμα τοῦ ἀβραὰμ κατὰ σάρκα, ἀλλὰ δὴ καὶ αὐτοῦ τοῦ δαβὶδ καὶ βασιλέως σώζοντος τὰ ἔθνη, τότε εἶπεν, ὅτι ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ ἀβραὰμ, ἀναμιμνήσκων πᾶσιν ἀνθρώποις τὴν πρὸς τὸν θεὸν τοῦ ἀβραὰμ πάλαι προσκύνησιν, καὶ τὴν παρὰ τοῦ θεοῦ πρὸς αὐτὸν ἐπαγγελίαν. καὶ πλησθεὶς ἀρρήτου ἡδονῆς ὁ προφήτης ἔλεγε, ψάλλετε τῷ θεῷ ἡμῶν, ψάλλετε. ψάλλετε τῷ βασιλεῖ ἡμῶν, ψάλλετε. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. πάλιν δὲ διδάσκων ἔλεγε, ψάλλετε συνετῶς. τί ἐστι ψάλλετε συνετῶς; τουτέστι νουνεχῶς, φρονίμως. μετ' ἐπιστήμης γνῶτε τὰ λεγόμενα, γνῶτε τὰ πραττόμενα. μὴ κροτεῖτε τὰς χεῖρας ὑμῶν ἀθέσμως καὶ ἀτάκτως, ὡς ἐν τοῖς συμποσίοις κροτοῦσι τὰς χεῖρας οἱ ἄφρονες, ἀλλὰ μαθόντες πόθεν ἡ νίκη, πόθεν ἡ ἐλευθερία, πόθεν ἡ σωτηρία, δότε μεγαλωσύνην, δότε εὐχαριστίαν τῷ νικοποιῷ θεῷ, κροτήσατε τὰς χεῖρας, δότε φωνὴν αἰνέσεως καὶ ἀγαλλιάσεως τῷ θεῷ τοῦ ἀβραὰμ, τουτέστι τῷ γεννηθέντι ἐκ σπέρματος τοῦ ἀβραὰμ κατὰ σάρκα, ὃν ἐκήρυξαν πάντες οἱ προφῆται, ὃν ἀπεφήναντο, ὃν ὡμολόγησαν θεόν τε καὶ ἄνθρωπον, ὃς ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ τοῦ ἁγίου, ὃν ἐκ τῆς ἁγίας παρθένου ἀνέλαβεν ὑπὲρ φύσιν ἄνθρωπον. ψάλλετε συνετῶς. ἤγουν ἐγκύψατε εἰς τὸ βάθος τῶν νοημάτων, ἴδετε τὸν ἐν τοῖς προφητικοῖς λόγοις ἐγκεκρυμμένον οὐράνιον μαργαρίτην, ὥσπερ τὸν παρὰ τοῖς πολλοῖς ἐν τοῖς

ὀστρέοις

ὀστρέοις τιμώμενον, ψάλλετε συνετῶς. ὁ γὰρ ἀκένωτος θησαυρὸς ἐν ταῖς χερσὶν ὑμῶν ἐστιν·
ἀναπτύξαντες τὰς τῶν πατέρων ῥήσεις, εὑρίσκετε αὐτὸν, ὅς ἐστιν ὁ χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ
θεοῦ, ὁ ποιητὴς πάσης κτίσεως. τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι
τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ὁρᾷς, πῶς ποτὲ μὲν θεὸν ὀνομάζει αὐτὸν ὁ δαβίδ, πο-
τὲ δὲ θεὸν καὶ ἄνθρωπον, ποτὲ δὲ λόγον θεοῦ, ποτὲ δὲ ποιητὴν πάσης κτίσεως; ἐν γὰρ τῷ εἰπεῖν
αὐτὸν ποιητὴν τοῦ οὐρανοῦ, πάσης κτίσεως ποιητὴν αὐτὸν ἀπεφήνατο. ὁ γὰρ ποιήσας τοὺς οὐρα-
νοὺς, αὐτός ἐστιν ὁ ποιήσας τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους. καὶ ὁ μὲν μωϋσῆς λέγει, ἐν ἀρχῇ ἐποίη-
σεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὁ δὲ δαβίδ, τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. πάντως
ὃν λέγει ὁ μωάμεθ λόγον θεοῦ, καὶ πάντες οἱ μουσουλμάνοι, ὃν προσκυνοῦσι πάντες οἱ χριστια-
νοὶ ὡς λόγον θεοῦ καὶ θεὸν, τοῦτον αὐτὸν λέγει δαβίδ, ὅτι ἐστερέωσε τοὺς οὐρανοὺς, τουτέστιν ἐποίησε.
τοῦτον αὐτὸν λέγει μωϋσῆς, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ τίς οὕτω μάταιος,
ὃς ἀμφιβάλλει, καὶ οὐ προσκυνεῖ ὃν ὁ δαβίδ κηρύττει θεὸν, ὃν ὁ μωσῆς λέγει θεόν; σὺ δὲ οὐρα-
νοὺς ἀκούσας, μηδὲν ὑπολάβῃς πολλοὺς γεγονότας οὐρανοὺς, ἀλλ᾽ ἕνα, καὶ οὐ πολλούς. ὁ δὲ ἑρμηνεὺς
τῇ ἑβραΐδι ἀκολουθήσας διαλέκτῳ, ἔγραψε πληθυντικῶς κατὰ τὴν ἐκείνων τάξιν τε καὶ συνή-
θειαν. ἴδωμεν δὲ καὶ περὶ τίνων λέγει δαβίδ τό, οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. τί-
νες; οἱ μαθηταὶ αὐτοῦ οἱ ὀλίγοι, οἱ πρώην εὐτελεῖς καὶ ἀμαθεῖς καὶ ἄγροικοι, νῦν δὲ διδάσκα-
λοι τῆς οἰκουμένης, οἱ διωκόμενοι παρὰ πάντων, οἱ ὑβριζόμενοι, οἱ κολαφιζόμενοι, οἱ μὴ ἔχον-
τες ποῦ τὴν κεφαλὴν κλῖναι, νῦν ἀναφαίνονται ὑψηλοὶ καὶ μεγάλοι, καὶ τοῦ θεοῦ κραταιοὶ, καὶ εἰς
τὴν τῆς τιμῆς κορυφὴν ἀναχθέντες. πάντες γὰρ ἄρχοντες, πάντες σατράπαι, πάντες οἱ
βασιλεῖς τῆς γῆς μετὰ θεὸν τοὺς ἀποστόλους ἔχουσι προστάτας, καὶ αὐτοὺς ὁμολογοῦσι διδα-
σκάλους καὶ ὁδηγοὺς τῆς ἑαυτῶν σωτηρίας. οἱ ἀπόστολοι γὰρ ἐδίδαξαν τὸ εὐαγγέλιον πά-
σῃ τῇ κτίσει, τοῖς θαύμασι πιστούμενοι, καθὼς εἴπομεν. καὶ οἱ πρότερον διῶκται τοῦ ὀνόμα-
τος τοῦ χριστοῦ, νῦν ὑπὲρ αὐτοῦ ἀποθνήσκουσι. καὶ οἱ πρότερον ὑβρισταὶ καὶ τύραννοι, νῦν
διὰ τοῦ χριστοῦ καὶ τῶν ἀποστόλων ποιμένες καὶ διδάσκαλοι καὶ φωστῆρες τῆς οἰκουμένης κατέ-
στησαν, ὑπὲρ τὸν ἥλιον λάμποντες. καὶ οἱ τῶν εἰδώλων πάλαι προσκυνηταὶ, νῦν τοῦ χρι-
στοῦ μάρτυρες, καὶ λαβόντες τὴν ἀπὸ τοῦ θεοῦ χάριν, εὑρίσκονται ποιοῦντες, ὡς εἴρηται, θαύ-
ματα. οὐ μόνον γὰρ ζῶντες οἱ μάρτυρες ἐνήργουν θαύματα καὶ τεράστια, ἅπερ ἔβλεπον οἱ
εἰδωλολάτραι, καὶ ἐξίσταντο, ἀλλὰ καὶ μετὰ θάνατον μεγάλα καὶ ἐξαίσια θαύματα ἐνήρ-
γουν. ζῶντες γὰρ ἠρώτων ἔμπροσθεν τῶν τυράννων τὰ εἴδωλα, λέγοντες, ὅτι ἐν τῷ ὀνόματι
τοῦ χριστοῦ εἴπατε τὴν ἀλήθειαν. καὶ ἀπεκρίναντο τὰ εἴδωλα, ὅτι ὁ χριστὸς θεὸς ἀληθινός ἐστι.
καὶ ταῦτα ἀκούοντες οἱ ἀσεβεῖς, καὶ βλέποντες ἔλεγον μεγάλῃ τῇ φωνῇ, μέγας ὁ θεὸς τῶν
χριστιανῶν, μεγάλη ἡ πίστις αὐτῶν, καὶ ἐπίστευον εἰς τὸν χριστόν. καὶ ὅτι μὲν πάντες οἱ τοῦ χριστοῦ
μάρτυρες θαύματα ἐνήργουν ἄπειρα, ἅτινα διὰ τὸ πλῆθος εἰάθησαν, τοιοῦτόν ἐστιν, ὅμως
δὲ ἐκ τῶν πολλῶν συνεγράψαντο οἱ τῷ καιρῷ εὑρισκόμενοι ἐκείνῳ οὐκ ὀλίγα, ἐξ ὧν ἕν ἐστι
τοῦτο. ὁ παρ᾽ ἡμῶν τῶν χριστιανῶν τιμώμενος μάρτυς τοῦ χριστοῦ γεώργιος, ὃς καὶ παρ᾽ αὐτῶν τῶν μου-
σουλμάνων τιμᾶται, ὀνομάζεται δὲ παρ᾽ αὐτῶν χετὴρ ἠλίας, βασανιζόμενος καὶ πειραζόμε-
νος παρὰ τῶν ἀσεβῶν καὶ εἰδωλολατρῶν, ἵνα τὸν μὲν χριστὸν ἀρνήσηται, σεβασθῇ δὲ καὶ προσκυνήσῃ
τοῖς ἐκείνων θεοῖς, ὁ δὲ προείλετο μυρίους θανάτους καὶ μυρίας βασάνους ὑπὲρ τοῦ ὀνόματος τοῦ
χριστοῦ, ἢ ὅλως ἀθετῆσαι τὴν εἰς τὸν χριστὸν πίστιν αὐτοῦ. καὶ ἐποίησαν αὐτῷ τιμωρίας μεγάλας,
καὶ πειρατήρια. λέγει δὲ ὁ μάρτυς τῷ τυράννῳ, ἀπελθόντες ἴδωμεν τοὺς θεοὺς ὑμῶν. ὁ δὲ ἀκού-
σας ἐχάρη λίαν, ὑπολαβὼν, ὅτι ἀπέρχεται θύσων τοῖς θεοῖς αὐτοῦ. ἀπελθόντων οὖν ἅμα πάν-
των ὁμοῦ τοῦ τε τυράννου σὺν παντὶ τῷ πλήθει, συνεισῆλθε εἰς τὸν βωμὸν καὶ ὁ μάρτυς γεώρ-
γιος, καὶ λέγει μεγάλῃ τῇ φωνῇ, ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ τὰ ἄφωνα εἴδωλα εἴπατε τὴν
ἀλήθειαν, τίς ἐστι θεὸς ἀληθής; καὶ παραυτὰ λαλήσαντα τὰ εἴδωλα εἶπον, ὁ χριστὸς ὁ υἱὸς τοῦ
θεοῦ, καὶ ὁ τούτου πατὴρ ὁ θεός. καὶ πάλιν ὁ μάρτυς, ἐν τῷ ὀνόματι τοῦ χριστοῦ πεσόντα εἰς τὴν
γῆν, συντρίβητε. καὶ ἐπακολουθησάσης τῷ λόγῳ καὶ ἐνεργείας, ἔπεσον πάντα τὰ εἴδωλα εἰς
τὴν γῆν, καὶ συνετρίβησαν. τὸ δὲ πλῆθος ἰδόντες τὸ τεράστιον, μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ
ἐξεβόησαν, μεγάλη ἡ πίστις τῶν χριστιανῶν, μέγας ὁ θεὸς γεωργίου. ἀκουσάτωσαν οἱ μὴ πιστεύον-

τοῦ εἰς τὸν χριστὸν, καὶ αἰσχυνθήτωσαν, ὅτι ὁ πατὴρ τοῦ ψεύδους διάβολος οὐκ ἠδυνή-
θη κρύψαι τὸ ὄν, ἀλλ' ἐπιτιμηθεὶς παρὰ τοῦ ἁγίου, καὶ οἱονεὶ ὥσπερ ὑπὸ τῆς ἀληθείας μα-
στιχθεὶς, ὡμολόγησε τὸν χριστὸν θεὸν εἶναι ἀληθινόν. οἱ δὲ μὴ πιστεύσαντες, ἔτι ὡς ἐν βαθυ-
τάτῳ σκότει περιπατοῦσι πλανώμενοι. ἔτι δὲ τοῦ χριστοῦ ἐπὶ τῆς γῆς εὑρισκομένου, ἔφε-
ρον πρὸς αὐτὸν ἄνθρωπον οἱ γονεῖς αὐτοῦ δαιμονιζόμενον, καὶ παρεκάλουν αὐτὸν, ἵνα θε-
ραπεύσῃ τοῦτον. ὁ δὲ ἐν τῷ ἀνθρώπῳ εὑρισκόμενος δαίμων, ἰδὼν τὸν ἰησοῦν, ἔκραξε λέ-
γων, τί ἐμοὶ καὶ σοὶ υἱὲ τοῦ θεοῦ, ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; οὐδὲ γὰρ εἷς διάβο-
λος ἦν ἐν τῷ ἀνθρώπῳ, ἀλλὰ πολλοί. τοῦ δὲ ἰησοῦ ἐπιτιμήσαντος αὐτὸν, ἐξῆλθον ἐκ
τοῦ ἀνθρώπου, καὶ ἐγένετο ὑγιής. τί δὲ, ὃν ἐμαρτύρησεν ὁ θεὸς, ὃν ἐκήρυξαν οἱ προφῆται,
εἰς ὃν ἐπίστευσε πᾶσα ἡ οἰκουμένη, ὃν καὶ αὐτοὶ οἱ δαίμονες μὴ βουλόμενοι ὡμολόγησαν
θεὸν, φρίττουσι δὲ καὶ τρέμουσι τῷ ὀνόματι αὐτοῦ, τοῦτον οἱ μὴ ὁμολογοῦντες θεὸν, οὐκ
εἰσὶ μάταιοι καὶ πεπλανημένοι; παντί που δῆλον. καὶ τότε πληρωθήσεται ἐπ' αὐτοὺς
τὸ προφητικὸν λόγιον τοῦ δαβίδ, ὅτι ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε. παρεσυνεβλή-
θη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς, καὶ μακάριον αὐτοῖς ἦν, εἴπερ ἐκρί-
θησαν ὡς τὰ ἄλογα ζῶα. ἐκεῖνα γὰρ ἐπεὶ οὐχ ἁμαρτάνουσιν, οὐδὲ κολασθῆναι μέλλου-
σιν. οὐαὶ δὲ τοῖς μὴ πιστεύσασιν εἰς τὸν χριστὸν, εἴθε μὴ ἐγεννήθησαν οἱ ἄνθρωποι ἐκεῖνοι.
μετὰ δὲ τὸν θάνατον τῶν μαρτύρων προσέτρεχον οἱ ἄνθρωποι εἰς τοὺς τάφους καὶ τὰ μνη-
μεῖα αὐτῶν, καὶ ἐθεραπεύοντο τὰς νόσους αὐτῶν. ἀλλὰ καὶ μέχρι τῆς σήμερον ἄπειρα θαύ-
ματα ἐνεργοῦνται εἰς τοὺς τάφους τῶν μαρτύρων καὶ τῶν ἄλλων ἁγίων, τῶν πολιτευ-
σαμένων κατὰ τὰς ἐντολὰς τοῦ εὐαγγελίου, ἔνθα εὑρίσκοντο κείμενοι. ἀλλὰ καὶ κατὰ τὸ πα-
ρὸν οὐκ ἔχουσι μέτρον οἱ τοῦ θεοῦ ἄνθρωποι οἱ ἐπιμελούμενοι τῆς σωτηρίας, καὶ οἱ μὲν εὑ-
ρίσκονται εἰς τὰ ὄρη, οἱ δὲ εἰς τὰ σπήλαια, οἱ δὲ μετὰ τῶν ἀνθρώπων, καὶ ἔχουσι δύναμιν
καὶ ἰσχὺν ποιῆσαι θαύματα, καὶ ποιοῦσιν. ἆρα τί σοι δοκεῖ; ἕνεκεν ψευδοῦς καὶ πεπλασ-
μένου καὶ ἀντιθέου ὀνόματος συνήργησεν ὁ θεὸς τοῖς δώδεκα ἀποστόλοις, τοῖς ἀμαθέ-
σι καὶ ἀγροίκοις διὰ τῶν ἀπείρων θαυμάτων, καὶ ἐπέστρεψαν πᾶσαν τὴν οἰκουμένην εἰς
τὴν τοῦ χριστοῦ πίστιν καὶ τὴν θεογνωσίαν, καὶ ἐπεστόμιζον τοὺς ῥήτορας καὶ φιλοσόφους;
καὶ τίς οὕτως ἄθλιος, ὅστις εἴποι αὐτό; καὶ γὰρ τὰ τιμιώτερα πράγματα ἁπάσης τῆς κτί-
σεως, ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος εἰσίν. ἀλλὰ καὶ ὁ ἄγγελος ἐνθυμηθεὶς γενέσθαι θεὸς, ἐξέ-
πεσε τῆς οἰκείας δόξης, καὶ ἀντὶ ἀγγέλου ἐγένετο διάβολος, καὶ ἀντὶ φωτὸς ἐγένετο σκό-
τος. τὸ αὐτὸ καὶ ὁ ἄνθρωπος ἅγιος ὢν, καὶ ἐντὸς τοῦ παραδείσου εὑρισκόμενος, ἐπε-
θύμησε γενέσθαι θεὸς, καὶ παρευθὺς ἀντὶ τοῦ εἶναι ἅγιος, εὑρέθη ἁμαρτωλός. καὶ ἐκβλη-
θεὶς τοῦ παραδείσου, κατεδικάσθη ἐργάζεσθαι τὴν γῆν. καὶ τὸ δὴ χεῖρον, ὅτι ἀθάνατος
κτισθεὶς παρεδόθη εἰς θάνατον, καὶ ἤκουσεν, ὅτι ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν
ἄρτον σου, καὶ ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ τί λέγω περὶ τοῦ ἀγγέλου καὶ τοῦ ἀδὰμ,
ὅτι ἐπιθυμήσαντες γενέσθαι θεοὶ, ἔπαθον ὅσα εἴπομεν, ἀλλὰ καὶ ἐπὶ τοῦ μωϋσέως. τολμη-
σάντων τινῶν ποιῆσαι ἃ μὴ θέμις ποιεῖν, ἤγουν θυμιάσαι τῷ θεῷ δουλείας χάριν, διὰ
τὸ μὴ ἐξεῖναι αὐτοῖς θυμιάσαι, ἀλλ' ἢ μόνοις τοῖς ἱερεῦσιν, ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε τὸν
δαθὰν καὶ τὸν ἀβειρὼν καὶ τὸν κορέ. ἐξῆλθε πῦρ ἀπὸ τῆς γῆς, καὶ κατέκαυσε τὸν ὀφνεὶ καὶ
φινεές. καὶ ἐθυμίασεν ὀζίας ὁ τῶν ἰουδαίων βασιλεὺς, ἀλλὰ παρευθὺς ἐλεπρώθη. βλέ-
πεις πῶς πάσης ἁμαρτίας ἀνέχεται ὁ θεὸς, καὶ καρτερεῖ τὴν τοῦ ἁμαρτωλοῦ μετάνοιαν,
ταύτην δὲ τὴν τόλμαν οὐκ ἀνέχεται, ἀλλὰ κατ' αὐτὴν τὴν ὥραν ἔρχεται ἡ τοῦ θεοῦ ἀγα-
νάκτησις καὶ ὀργὴ εἰς τὸν τὰ τοιαῦτα τολμῶντα; ἐπεὶ γοῦν, ὡς ἀποδέδεικται, θεὸς ἦν ὁ
συνεργῶν τοῖς τε ἀποστόλοις καὶ μάρτυσιν εἰς τὴν τοῦ χριστοῦ πίστιν, ὁ μὴ πιστεύων εἰς τὸν
χριστὸν, οὐ πιστεύει θεῷ. οὕτω γὰρ καὶ ὁ χριστὸς ἐν τοῖς εὐαγγελίοις εἴρηκεν, ὅτι ὁ μὴ πιστεύων
τῷ υἱῷ, οὐδὲ τῷ πατρί, καὶ ὁ μὴ ἔχων τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει. εἴπερ γοῦν οὐκ ἦν ὁ
χριστὸς θεὸς καὶ θεοῦ υἱὸς, ἀλλὰ τολμῶν ἔλεγε ταῦτα, οὐκ ἔμελλε παθεῖν, ἅπερ ἔπαθεν ὅ,
τε διάβολος καὶ ὁ ἀδὰμ, ἀλλὰ θεὸς ὢν ἀληθινὸς, ἔλεγε καθαρῶς καὶ ἐδίδασκε τοῖς πᾶ-
σιν, ἵνα γνῶσι καθαρῶς τὴν ἀλήθειαν, μᾶλλον δὲ τὴν αὐτοῦ θεότητα. ἐπεὶ γοῦν τρανῶς

καὶ πεπαῤῥησιασμένως ἔλεγεν, ὅτι θεός εἰμι καὶ υἱὸς τοῦ θεοῦ τοῦ ὑψίστου, καὶ οὐκ ἐν παραβύσῳ καὶ γωνίᾳ ἔλεγεν αὐτὸ, ἀλλὰ μέσον πάντων. ὁμολογεῖ δὲ περὶ τούτου ὁ μωάμεθ, καὶ πάντες οἱ μουσουλμάνοι, ὅτι λόγος θεοῦ ἐστὶν ὁ χριστὸς, καὶ πνεῦμα θεοῦ καὶ ψυχὴ θεοῦ, οὕτω χρεωστοῦσι πάντες οἱ μουσουλμάνοι, ἵνα ἀνεξετάστως καὶ ἀπολυπραγμονήτως πιστεύωσι, καθὼς εἶπε περὶ αὐτοῦ ὁ χριστός. ἀλλὰ καὶ περὶ τοῦ κατ' ἔτος γινομένου ἐν ἱεροσολύμοις ἐν τῷ τάφῳ τοῦ χριστοῦ θαύματος κατὰ τὸν καιρὸν τῆς αὐτοῦ ἀναστάσεως, ὡς καὶ σὺ οἶδας, ἔχεις εἰπεῖν τί; οἶδας πάντως, ὅτι κρίμασιν οἷς οἶδε θεὸς, κατεξουσιάζουσιν οἱ μουσουλμάνοι καὶ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ κατὰ τὸν δηλωθέντα καιρὸν τῆς τοῦ χριστοῦ ἀναστάσεως πολλὴν καὶ μεγάλην ποιοῦνται τὴν ἐπιμέλειαν καὶ φροντίδα, ὥστε μηκέτ' εἶναι τὸ παράπαν λυχνιαῖον φῶς. ἐνεργεῖται τοιγαροῦν τοῦτο οὕτως ἀπαραιτήτως κατὰ τὴν τούτων ἐπιμέλειαν. ἐν δὲ τῷ καιρῷ, καθ' ὃν ᾄδουσιν οἱ ἐκεῖσε εὑρισκόμενοι χριστιανοὶ τῆς ἀναστάσεως τοῦ χριστοῦ ὕμνον, κατέρχεται φῶς οὐρανόθεν, ἀνάπτον τὰς εἰς τὸν τοιοῦτον τάφον τοῦ χριστοῦ εὑρισκομένας τρεῖς λαμπάδας, ἐνώπιον τοῦ ἐκεῖσε εὑρισκομένου τηνικαῦτα κατὰ καιρὸν ἄρχοντος τῶν μουσουλμάνων. τί γοῦν σοι δοκεῖ; ψευδῶς ἔλεγεν ὁ χριστὸς, ὅτι θεός ἐστι καὶ θεοῦ υἱός; ψευδῶς δὲ πιστεύουσι καὶ οἱ χριστιανοί; καὶ πῶς τῇ ὥρᾳ ταύτῃ, καθ' ἣν ὑμνοῦσιν οὗτοι, ὡς εἴπομεν, τὸν χριστὸν θεὸν καὶ θεοῦ υἱὸν, καὶ ποιητὴν πάσης κτίσεως, εἰς πλείονα δῆθεν πίστωσιν καὶ δήλωσιν τοῦ θαύματος, μαρτυροῦντος τούτου τοῦ θεοῦ, ὥστ' εἶναι τοῦτ' ἀληθὲς, κατέρχεται οὐρανόθεν φῶς ἐξάπτον τὰς εἰς τὸν τάφον αὐτοῦ δὴ τοῦ χριστοῦ, ὡς δεδήλωται, λαμπάδας. ὥσπερ γὰρ ἐν τῷ ἰορδάνῃ ἐν τῇ ὥρᾳ τῆς αὐτοῦ τοῦ χριστοῦ βαπτίσεως κατῆλθεν ἐξ οὐρανοῦ φωνὴ λέγουσα, ὅτι οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, τουτέστιν ὁ χριστὸς, οὕτω καὶ κατὰ τὸν ῥηθέντα καιρὸν κατέρχεται τὸ ἐξ οὐρανοῦ φῶς, πιστούμενον καὶ μαρτυροῦν πᾶσι πιστοῖς τε καὶ ἀπίστοις, ὅτι αὐτός ἐστιν ὁ χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὁ ἀληθὴς θεός τε καὶ ἄνθρωπος. τίς γοῦν οὕτως ἄθλιος, ὃς οὐ προσκυνεῖ καὶ ὁμολογεῖ αὐτὸν θεὸν καὶ υἱὸν καὶ λόγον τοῦ θεοῦ; εἰ δὲ ἐρευνῶσιν ἴσως καὶ ἀντιλέγουσιν, ὡς ἔοικε λέγουσιν, ὅτι ὁ χριστὸς ψευδῶς ἐλάλησε, τίς ἐστι χρεία λοιπὸν ἑτέρου κατηγόρου; αὐτοὶ γὰρ ἑαυτῶν εἰσι κατήγοροι, ἐπεὶ ὃν ὁμολογοῦσι λόγον θεοῦ, καὶ πνεῦμα, καὶ ψυχὴν θεοῦ, τοῦτον λέγουσι ψεύδεσθαι. καὶ πῶς ἐστι δυνατὸν τοῦτο, λόγον θεοῦ ψεύδεσθαι; γινώσκοντες οὖν τὴν ἀλήθειαν αὐτοῦ, καταφεύγουσιν εἰς τοῦτο, λέγοντες ὅτι οἱ χριστιανοὶ, ὡς δῆθεν τιμῶντες τὸν χριστὸν, λέγουσιν ὅτι περὶ ἑαυτοῦ εἶπεν ὁ χριστὸς, ὅτι υἱὸς θεοῦ ἐστιν, ἀλλ' οὐκ ἔστιν ἀλήθεια τοῦτο, ἀλλὰ διαβολή. οὐ μόνον γὰρ ὁ χριστὸς οὐκ εἶπε τοῦτο, οὐδὲ ἐδίδαξεν, ἀλλὰ ἐρωτηθεὶς παρὰ τῶν ἰουδαίων, ἠρνήσατο εἰπὼν, ὅτι ἐγὼ οὐκ εἰμὶ, ἀλλ' ὑμεῖς λέγετε αὐτό. τοῦτο γοῦν πρόσχημά ἐστι καὶ σκῆψις. βουλόμενοι γὰρ τινὲς ὑβρίσαι τὸν χριστὸν, φανερῶς οὐκ ἠδυνήθησαν, φοβηθέντες τὴν φανερὰν τῶν ἀνθρώπων κατάγνωσιν, καὶ ἐπλάσαντο ἄλλα ἐπ' ἄλλοις. ἀλλὰ γινωσκέτωσαν οἱ βουλόμενοι μαθεῖν τὴν ἀλήθειαν, ὅτι αὐτὸς ὁ χριστὸς εἴρηκεν οἰκείοις χείλεσιν οὐχ ἅπαξ καὶ δὶς καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις, καὶ σχεδὸν ἅπαν τὸ εὐαγγέλιον αὐτὸ τοῦτο λέγει καὶ διδάσκει, ἵνα δηλονότι γνῶσιν οἱ ἄνθρωποι τὸν μόνον καὶ ἀληθινὸν θεὸν, καὶ ὃν ἐγέννησεν υἱὸν πρὸ πάντων τῶν αἰώνων θεὸν ἀληθινόν. ἅπας καὶ γὰρ ὁ τρόπος καὶ ὁ σκοπὸς τοῦ εὐαγγελίου οὗτός ἐστιν, ἵνα δηλονότι ἐπιστρέψῃ πᾶς ἄνθρωπος ἀπὸ τῆς ἀσεβείας εἰς θεοσέβειαν, καθὼς εἴρηται, καὶ ἵνα πράττωσιν οἱ ἄνθρωποι ἔργα σωτηρίας ἄξια, καὶ διὰ ταύτην τὴν αἰτίαν ἔλεγε καὶ ἐδίδασκεν ὁ χριστὸς καθημέραν τοῦτο. ἄπερ καὶ παραλαβόντες ἀπὸ τοῦ χριστοῦ οἱ ἀπόστολοι, συνεγράψαντο τὸ εὐαγγέλιον, καὶ ἐδίδαξαν εἰς τὸν ἅπαντα κόσμον, καὶ ἕνεκεν ταύτης τῆς πίστεως καὶ τοῦ εὐαγγελίου καὶ τῶν δογμάτων ἀπέθανον οὗτοι καὶ οἱ μάρτυρες. ὅμως τινὲς τῶν αἱρετικῶν ἔλεγον περὶ τοῦ χριστοῦ, ὅτι μὲν ἀληθῶς ὁ χριστὸς πρὸ πάσης κτίσεως εὑρίσκεται, καὶ αὐτός ἐστι δημιουργὸς τῶν ἀγγέλων καὶ τοῦ ἀδὰμ καὶ τοῦ οὐρανοῦ τῆς γῆς τε καὶ ἁπάσης τῆς κτίσεως. τοῦτο οὕτως ἔχει, καὶ οὐκ ἄλλως. ὅτι δὲ υἱὸς τοῦ θεοῦ, τοῦτο οὐκ ἔστι. καὶ ἐποίησαν οἱ τοιοῦτοι αἱρετικοὶ πολὺ κακὸν τοὺς ὀρθοδόξους. ὁ γὰρ βασιλεύων τῷ τότε ἦν φρονῶν τὰ ἐκείνων, καὶ συνήργει καὶ ἐβοήθει αὐτοῖς ἐπὶ τῷ τοιούτῳ δόγματι. ἐπεὶ γοῦν εἶχον τὸ εὐαγγέλιον, καὶ ἐτίμων αὐτὸ, εἴπερ οὐδὲν ἔλεγεν ὁ χριστὸς περὶ ἑαυτοῦ, ὅτι θεός ἐστι καὶ τοῦ θεοῦ υἱὸς, τίνος ἄλλης παραστάσεως ἐδέοντο, ἢ ταύτης; καὶ γὰρ αὕτη καὶ

μόνη

μόνη ἔσωζεν αὐτὴ πασῶν ἑτέρων παραστάσεων. ἀλλὰ τὸ μὲν εὐαγγέλιον, καὶ ἐτίμων καὶ ἔστεργον, καὶ ἅγιον ὠνόμαζον. καὶ ἀναγινώσκοντες τοῦτο οἱ τάλανες, καὶ τοὺς προφήτας διηνεκῶς, ἔλεγον τὰ αὐτὰ καταγέλαστα καὶ μεμεστωμένα μωρίας λόγια. καὶ οἱ μὲν ἐτελεύτησαν ἐν ταύτῃ τῇ αἱρέσει, καὶ εἰσὶν ὑπὸ ἀναθέματι, οἱ δὲ ζῶσι, καὶ εὑρίσκονται περὶ τὴν αἴγυπτον, καὶ καλοῦνται ἀρειανοί, καὶ ἰακωβῖται, καὶ νεστοριανοί. ἐρωτηθήτωσαν τοίνυν οὗτοι, καὶ μέλλουσιν ὁμολογήσειν τὴν πᾶσαν ἀλήθειαν, ὅτι οὕτως ἐστὶν ἐξ ἀρχῆς τὸ εὐαγγέλιον γεγραμμένον, ὡς εὑρίσκεται καὶ τὴν σήμερον. λέγετε ὅτι πιστεύομεν οἱ χριστιανοὶ εἰς τρία πρόσωπα, εἰς πατέρα, μητέρα, καὶ υἱόν. καὶ ἐπεὶ εἰς τὰ τῶν χριστιανῶν εὑρίσκει περὶ πάντα ἀμύητος, ὥσπερ περὶ τῶν ἄλλων, πλανᾶσαι καὶ περὶ τούτου. καὶ ἄκουσον, ὅτι μὲν ἡμεῖς οἱ χριστιανοὶ προσκυνοῦμεν ἕνα θεόν, τὸν ποιητὴν πάντων, ὁρατῶν τε καὶ ἀοράτων, καὶ τὸν τούτου υἱὸν καὶ λόγον, τὸν χριστὸν δηλονότι, τὸν τοιοῦτον ὄντα, καὶ οὐκ ἄλλως. καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν αὐτόν. τὴν δὲ ἀειπάρθενον ἁγίαν μαρίαν ἔχομεν πλάσμα θεοῦ, καὶ δούλην θεοῦ. καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν, ὅτι οὔτε ἐγεννήθη, οὔτε γεννηθῆναι μέλλει ἐξ ἀνδρὸς καὶ γυναικὸς ἄνθρωπος μέχρι τῆς συντελείας τοῦ αἰῶνος, ὡς αὕτη. καὶ κατὰ μὲν τὴν ἀνθρωπίνην φύσιν λογιζόμεθα αὐτὴν κάτω τῶν ἀγγέλων, ὡς ἄνθρωπον, τῇ δὲ τιμῇ καὶ τῇ ἁγιοσύνῃ ἐπάνω πάντων τῶν ἀγγέλων ἀσυγκρίτως, ὅτι τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ ἐγέννησε κατὰ σάρκα, καὶ ἔχομεν αὐτὴν προστάτιν πάντες καὶ βοηθόν, καὶ δέεται καὶ παρακαλεῖ διηνεκῶς ὑπὲρ τῶν ἁμαρτωλῶν, καὶ ἐνεργεῖ καὶ πράττει θαύματα μεγάλα καὶ ἐξαίσια. καὶ προσκυνοῦμεν αὐτὴν οὐχ ὡς θεόν, ἀλλ᾽ ὡς μητέρα τοῦ υἱοῦ τοῦ θεοῦ κατὰ σάρκα. ἔστω δ᾽ εἶναι ὑπὸ ἀναθέματι ὁ προσκυνῶν δύο, ἢ τρεῖς, ἢ καὶ πολλούς. ἀλλὰ προσκυνοῦμεν ἕνα θεόν, ποιητὴν οὐρανοῦ τε καὶ γῆς, καὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων. φέρετε εἰς κατηγορίαν ἡμῶν, ὅτι ἐρωτηθεὶς ὁ χριστὸς παρὰ τῶν ἰουδαίων, ὅτι υἱὸς θεοῦ εἶ σύ, συνῄνεσε, καὶ εἶπεν, ὅτι ὑμεῖς λέγετε τοῦτο. καὶ φέρετε αὐτὸ εἰς μαρτυρίαν καθ᾽ ἡμῶν, ἵνα δείξητε τὰ παρ᾽ ὑμῶν λεγόμενα ἀληθῆ. ταῦτα γοῦν ποιεῖτε διὰ τὸ μὴ γινώσκειν ὑμᾶς τὰς γραφάς. εἰ γὰρ εὑρίσκεσθε ἐξετάζοντες καὶ ἐρευνῶντες τὰς γραφὰς ὡς δεῖ, οὐκ ἂν ἐπλανήθητε. νῦν δὲ κατηγορεῖτε ἡμῶν, εἰς ἃ οὐ γινώσκετε. ὅμως ἀφίημι λέγειν κατὰ τὸ παρόν, τὰς ἀπ᾽ ἀρχῆς τοῦ κόσμου μαρτυρίας, αἵτινες ἐλαλήθησαν περὶ τοῦ χριστοῦ, δεικνύουσαι αὐτὸν θεὸν καὶ θεοῦ υἱὸν καὶ ἄνθρωπον, πολλὰς οὔσας. διὸ ἀπὸ τούτων φθάσαντες εἴπομεν μερικάς τινας. ὅμως λέγω καὶ τοῦτο, ὅτι οὐ δι᾽ ἄλλο τι ἐσταύρωσαν οἱ ἰουδαῖοι τὸν χριστόν, ἢ ὅτι ἐδείκνυεν ἑαυτὸν θεόν τε καὶ ἄνθρωπον, καὶ θεοῦ υἱόν. καὶ ποτὲ μὲν ἔλεγεν, ὅτι ὁ ἐμὲ θεωρῶν, θεωρεῖ τὸν πατέρα μου. ποτὲ δέ, ὅτι ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ποτὲ δέ, ὅτι εἰ ἐμὲ ἐγνώκειτε, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν. ποτὲ δέ, ὅτι ἐάν τις τὸν λόγον μου τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσει εἰς τὸν αἰῶνα. καὶ ἀλλαχοῦ, ὅτι ἀφέωνταί σοι αἱ ἁμαρτίαι. ἅπερ θεωροῦντες οἱ ἰουδαῖοι, ἔλεγον πρὸς αὐτόν, τίνα σεαυτὸν ποιεῖς; ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν θεόν; τί δὲ ὁ χριστός; ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται. καὶ ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. καὶ ὅτι οὐδεὶς εἶδε τὸν υἱόν, εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ υἱός, καὶ ᾧ βούλεται ὁ υἱὸς ἀποκαλύψαι. ὁ γοῦν χριστὸς ὁ λέγων ταῦτα καὶ διδάσκων τοὺς ἀνθρώπους, ἐρωτηθεὶς ἔμελλε κρύψειν τὴν ἀλήθειαν; καὶ ποῖος ἄφρων καὶ εὐήθης ὑπολάβοι τοῦτο; εἰ γὰρ οὐκ ἦν θεὸς καὶ υἱὸς θεοῦ, οὐκ ἂν εἶπον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, ἐρωτηθέντες παρ᾽ αὐτοῦ, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; καὶ εἶπον πρὸς αὐτόν, ὅτι οἱ μὲν λέγουσιν εἶναι σε ἠλίαν, οἱ δὲ ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. καὶ εἶπεν αὐτοῖς ὁ χριστός, ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; καὶ ἀποκριθεὶς ὁ πέτρος εἶπεν αὐτῷ, ὅτι σὺ εἶ ὁ χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἔμελλε καὶ γὰρ εἰπεῖν ὁ χριστὸς τῷ πέτρῳ, ὅτι πεπλάνησαι, βλασφήμως εἴρηκας, κακῶς λελάληκας, οὐκ εἰμὶ υἱὸς θεοῦ. καὶ γὰρ ἐπεὶ διδάσκαλος αὐτῶν ἦν ὁ χριστός, τί ἕτερον ἔμελλε διδάσκειν αὐτούς, εἰ μὴ τὴν ἀλήθειαν; τί γοῦν ὁ χριστὸς τῷ σίμωνι πέτρῳ; μακάριος εἶ σίμων υἱὲ τοῦ ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. οὐκ ἀγνοῶν δὲ ἠρώτα ὁ χριστὸς τὸν πέτρον τό, τίνα λέγουσιν εἶναι αὐτὸν οἱ ἄνθρωποι, ἀλλ᾽ ὥσπερ περὶ τοῦ λαζάρου πρὸ τοῦ θανάτου ἐκείνου ἔλεγεν, ὅτι λάζαρος ὁ φίλος ἡμῶν ἀπέθανεν, ἀλλὰ πορεύομαι ἀναστήσων αὐτόν. πορευθεὶς δὲ ἠρώτα, ποῦ τεθείκατε αὐτόν; εἶτα ἐξουσίᾳ ἐλάλησε, λάζαρε δεῦρο ἔξω. καὶ ὑπήκουσεν ὁ ἄπνους τῷ τοῦ κυρίου προστάγματι, δεικνύων τήν τε αὐτοῦ θεότητα καὶ ἀνθρωπότητα. οὕτω καὶ κατὰ τὸ παρὸν ἠρώ-

τησε πρὸς τοὺς μαθητὰς, ἵνα δείξῃ αὐτὸν θεὸν καὶ ἄνθρωπον, καὶ ἵνα ἐκ τοῦ κατὰ μικρὸν ἀνάγωνται εἰς τὸ ὕψος τῆς ἀληθοῦς γνώσεως. ἀλλὰ δὴ καὶ μετὰ τὴν ἀνάστασιν, τί εἶπεν ὁ θωμᾶς, εἷς ὢν καὶ αὐτὸς τῶν δώδεκα μαθητῶν, ψηλαφήσας τὴν πλευρὰν τοῦ χριστοῦ; πάντως καὶ αὐτὸς οὕτως εἴρηκεν, ὁ κύριός μου καὶ ὁ θεός μου. τί γοῦν φησι καὶ πρὸς αὐτὸν ὁ χριστός; οὐκ εἶπεν αὐτῷ, παῦσαι βλασφημῶν. ἀλλὰ τί; ὅτι ἑώρακάς με, πεπίστευκας; μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. ἀλλὰ καὶ ἐν τῇ ἀρχῇ τοῦ κηρύγματος, τί εἶπεν ὁ ναθαναὴλ πρὸς τὸν χριστόν; καὶ γὰρ ὁ αὐτὸς ναθαναὴλ νομοδιδάσκαλος ὢν τῶν ἰουδαίων, ἐλθὼν εἰς τὸν χριστὸν, ἠρώτησεν αὐτὸν ὅσα ἤθελε καὶ ἐβούλετο. ἀκούσας δὲ παρ᾽ αὐτοῦ τοῦ χριστοῦ, ἅπερ εἶχεν ἀπόρρητα ἐν τῇ καρδίᾳ αὐτοῦ, λέγει τῷ ἰησοῦ, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ ἰσραήλ; ἐπετίμησε γοῦν αὐτῷ ὁ χριστὸς, ὡς κακῶς λαλήσαντι; οὐχί. ἀλλὰ τί; λέγει πρὸς αὐτὸν ὁ χριστὸς, ὅτι εἶπόν σοι τὰ ἀπόρρητα τῆς καρδίας σου, πιστεύεις, μείζω τούτων ὄψει. καὶ ὅτι μὲν ἐρωτηθεὶς παρὰ τοῦ πιλάτου ὁ χριστὸς, οὕτως εἴρηκεν, ὅτι σὺ εἶπας τοῦτο, τοιοῦτόν ἐστιν, ἀλλ᾽ οὐκ ἔστιν ἀρνήσεως λόγος, ἀλλὰ συγκαταθέσεως καὶ ὁμολογίας. καὶ ὥσπερ πρὸς τὸν ἰούδαν εἶπε. καθήμενος καὶ γὰρ ἐν μιᾷ ὁ χριστὸς μετὰ τῶν μαθητῶν αὐτοῦ, λέγει πρὸς αὐτοὺς, εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ ἔλεγεν εἷς ἕκαστος πρὸς αὐτὸν. μήτι ἐγώ εἰμι; καὶ ἄλλος, μήτι ἐγώ εἰμι; εἶπε καὶ ἰούδας, μήτι ἐγώ εἰμι; λέγει ὁ χριστὸς, σὺ εἶπας. τότε πάντως οὐκ ἦν ὁ λόγος ἀρνήσεως, ἀλλὰ συγκαταθέσεως. οὕτω καὶ ὧδε τοῦ πιλάτου. λόγος γὰρ ἦν συνήθης τοῦ τόπου, καὶ ὡς τοῦ τόπου ἐκείνου λόγῳ ἐχρήσατο αὐτῷ ὁ χριστός. καὶ ὥσπερ ἀρτίως πολλάκις ἐστὶν ὧδε τῶν μουσουλμάνων λέγει ἕτερος πρὸς ἕτερον μετὰ συμβουλῆς, ὅτι ποιήσωμεν τόδε καὶ τόδε. καὶ αὐτὸς τοῦ εἰπεῖν

Aliàs ὅτι τὸν ἕτερον, * ὅτι ἂν γένηται. ἀποκρίνεται + ὅτι σὺ γινώσκεις, καὶ οὐκ ἔστι λόγος ἀρνήσεως,

γενέσθω ἀλλὰ συγκαταθέσεως. οὕτω καὶ ὧδε τοῦ χριστοῦ, ὡς τοῦ τόπου ἐκείνου λόγῳ, ἐχρήσατο τῇ δι-

Al. ὅτι σὺ αὐτῇ λέξει ὁ χριστὸς, τῇ, σὺ εἶπας. ὅμως αὐτὸς ὁ πιλάτος ἠρώτησε τὸν χριστὸν, λέγων, σὺ εἶ ὁ

ἐξ οὐδέρεις βασιλεὺς τῶν ἰουδαίων; ἀπεκρίθη ὁ ἰησοῦς, ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς ἰουδαίοις. νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. εἶπεν οὖν αὐτῷ ὁ πιλάτος, οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη ὁ ἰησοῦς, σὺ λέγεις, ὅτι βασιλεὺς εἰμὶ ἐγώ: ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς. λέγει αὐτῷ ὁ πιλάτος, τί ἐστιν ἀλήθεια; ὁρᾷς πῶς ἐνταῦθα ἐλέχθη σαφέστερον; πάντως ὁ χριστὸς βασιλέα ἔδειξε καὶ εἶπεν ἑαυτὸν, καὶ ἐρωτηθεὶς παρὰ τοῦ πιλάτου, πάλιν αὐτὸ τοῦτο ἀπεκρίθη. αὐτὸ τὸ εἰπεῖν, ναὶ βασιλεὺς εἰμὶ, εἶπε, σὺ λέγεις βασιλεὺς εἰμὶ ἐγώ. τί γοῦν ὁ πιλάτος, εἰπόντος τοῦ χριστοῦ, ὅτι ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ; λέγει πρὸς αὐτὸν, τί ἐστιν ἀλήθεια; τουτέστιν, εἰ εἰς τὸν κόσμον ἀλήθεια ἦν, οὐκ ἂν παρεδίδου εἰς θάνατον. καὶ οἷον ἀποκλαιόμενος τὴν τῆς ἀληθείας στέρησιν, εἶπε, τί ἐστιν ἀλήθεια; ἀλλὰ καὶ παρὰ τοῦ ἀρχιερέως ἐρωτηθεὶς ὁ χριστὸς, ὅτι ὁρκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ; οὐδὲν ἕτερον ἀπεκρίνατο, ἢ ὅτι ἐγώ εἰμι. οἶδας ὅπως εἰς ἃ οὐκ ἐπίστανται οἱ μουσουλμάνοι, κατηγοροῦσι τοὺς ἀξίους ἐπαίνου; ἰδοὺ τοίνυν εἴπερ ζητεῖς ἀλήθειαν, γνῶθι αὐτήν. εἰ δ᾽ οὖν σὺ οἶδας. οὐ γὰρ παρὰ τῆς ἀληθείας ἐστὶν ἡ περὶ ταύτην ἄγνοια, ἀλλὰ παρὰ τῶν ἀποστρεφομένων αὐτήν. ἐπεὶ δὲ καὶ περὶ τοῦ σταυροῦ λόγον δεδώκαμεν ἐν τοῖς ἔμπροσθεν ἵνα εἴπωμεν, ἄκουσον δὴ ἐστὶ περὶ τούτου. ὥσπερ γὰρ τὰ περὶ τοῦ χριστοῦ ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐλέγοντο, παρά τε τοῦ μωϋσέως, τοῦ δαβὶδ, καὶ τῶν προφητῶν, ἐλέγοντο δὲ ἀμυδρῶς πως καὶ συνεσκιασμένως, ἀλλὰ δὴ καὶ περὶ τοῦ πάθους καὶ τοῦ θανάτου αὐτοῦ, καθὼς διὰ τῶν τοσούτων προφητειῶν ἀνεφάνησαν, οὕτω καὶ ὧδε τοῦ σταυροῦ. καὶ σκόπει ὅπως ἐστὶ τοῦτο. τοῦ μωσέως ἐκβαλόντος τοὺς ἑβραίους ἐκ τῆς αἰγύπτου, ἐξῆλθον οἱ αἰγύπτιοι, καὶ κατεδίωξαν ὄπισθεν αὐτῶν, κατέλαβον οὖν αὐτοὺς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. οἱ γοῦν ἑβραῖοι φοβηθέντες, ἀπέγνωσαν τῆς ἑαυτῶν ζωῆς. ὁ τοίνυν μωϋσῆς ἐλάλησε πρὸς τὸν θεὸν, καὶ εἶπεν αὐτῷ ὁ θεὸς, τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς ἰσραὴλ, καὶ ἀναζευξάτωσαν. καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ τύψον τὴν θάλασσαν, καὶ διαβήσονται οἱ

υἱοὶ

ὁ ἰσραὴλ ἐπὶ τὸ ξηρόν. λαβὼν τοίνυν τὴν ῥάβδον αὐτοῦ ὁ μωϋσῆς, ἔτυψε τὴν θάλασσαν κατ᾽ εὐθεῖαν τομήν, καὶ ἐσχίσθη τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἔστη τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων, καὶ διέβη ἅπας ὁ λαὸς ἐπὶ τοῦ ξηροῦ. καταδιωξάντων δὲ καὶ τῶν αἰγυπτίων, καὶ εἰσελθόντων ἐντὸς τοῦ ξηροῦ, εἶπε κύριος πρὸς τὸν μωϋσῆν, καὶ ἔτυψεν αὖθις τὴν θάλασσαν μετὰ τῆς ῥάβδου, οὐ μὴν ὡς τὸ πρότερον κατ᾽ εὐθεῖαν, ἀλλ᾽ ἐπιστρεπτικῶς. καὶ ἐλθὸν τὸ ὕδωρ ἐπὶ χώραν, κατεπόντισε τὸν φαραὼ βασιλέα τῶν αἰγυπτίων σὺν πᾶσι τοῖς ἅρμασι καὶ τῇ στρατιᾷ αὐτοῦ. τότε πάντως ὁ τύπος τοῦ σταυροῦ διὰ τῆς ξυλίνης ῥάβδου τοῦ μωϋσέως ἐνήργησε τὸ τεράστιον, καὶ ἡ τομὴ τῆς θαλάσσης ἔδειξε τὸν τύπον τοῦ σταυροῦ, ἡ δὲ ῥάβδος τὴν φύσιν τοῦ ξύλου. καὶ ἔτι ὥσπερ ὁ μωσῆς διὰ τοῦ τύπου τοῦ σταυροῦ, καὶ τοῦ ξύλου, καὶ τῆς θαλάσσης ἠλευθέρωσε τοὺς ἑβραίους τῆς πικρᾶς δουλείας καὶ τυραννίδος τοῦ φαραώ, οὕτω καὶ ὁ χριστὸς διὰ τοῦ σταυροῦ καὶ τῆς δυνάμεως αὐτοῦ ἠλευθέρωσε τὸν ἄνθρωπον ἐκ τῆς πικρᾶς δουλείας καὶ καταδυναστείας τοῦ διαβόλου. ἔτι ἀπελθόντος τοῦ μωϋσέως μετὰ τοῦ λαοῦ ἐν τόπῳ τινὶ μερρᾶ ὀνομαζομένῳ, καὶ μὴ εὑρισκόντων ὕδωρ ὥστε πιεῖν, καὶ γὰρ πικρὰ εὑρίσκοντο τὰ τῆς μερρᾶς ὕδατα, ἔδειξεν ὁ θεὸς τῷ μωϋσεῖ ξύλον, καὶ βαλὼν αὐτὸ ἐν τοῖς ὕδασιν, ἐγλυκάνθησαν, καὶ ἔπιεν ἅπας ὁ λαὸς τῶν ἰουδαίων, καὶ ἐκορέσθη. τοῦτο δηλοῦντος τοῦ θαύματος, ὅτι ἡ παρὰ τοῦ διαβόλου γεγονυῖα ἐν τῷ κόσμῳ πικρία, ἀφανισθῆναι μέλλει καὶ μεταβληθῆναι διὰ τοῦ σταυροῦ, εἰς μεγάλην γλυκύτητα καὶ εὐφροσύνην. ἔτι πορευομένου τοῦ μωϋσέως ἐν τῇ ἐρήμῳ μετὰ τοῦ λαοῦ, εὗρεν ἐν τόπῳ τινὶ πλῆθος ὄφεων, καὶ ἐκινδύνευεν ὁ λαὸς ὑπ᾽ αὐτῶν. ὁ δὲ μωϋσῆς κελευσθεὶς παρὰ τοῦ θεοῦ, ἐποίησεν ὄφιν χαλκοῦν. ἔπηξε δὲ ξύλον ὄρθιον, καὶ ἔθηκεν αὐτὸν ἐγκάρσιον ἐν αὐτῷ. καὶ πάντες οἱ δακνόμενοι ὑπὸ τῶν ὄφεων, ἔβλεπον τὸν τοιοῦτον χαλκοῦν ὄφιν, καὶ ἐθεραπεύοντο, καὶ οὐδεὶς ἦν ἐκ τῶν δακνομένων ὑπὸ τῶν αὐτῶν ὄφεων, ὁ ἐμβλέψας εἰς αὐτόν, ὃς οὐκ ἐθεραπεύετο. τοῦτο δηλοῦντος καὶ τοῦ τοιούτου θαύματος, ὅτι τὸ πηχθὲν ὄρθιον ξύλον, καὶ ὁ ἐν αὐτῷ τεθεὶς ἐγκάρσιος ὄφις, τὸν τοῦ σταυροῦ τύπον εἰκόνιζεν. ὁ μέντοι χαλκοῦς ὄφις, προδήλως ἐδήλου τὸν χριστόν. καθὼς γὰρ ὁ ὄφις ἐκεῖνος τὸ μὲν εἶδος εἶχε τοῦ ὄφεως, ἰὸν δὲ οὐδαμῶς, οὕτω καὶ ὁ χριστὸς ἄνθρωπος μὲν μέλλει γενέσθαι, ἁμαρτίας δὲ ἄνευ. καὶ πᾶς ὁ δακνόμενος ὑπὸ τοῦ διαβόλου, καὶ βλέπων εἰς τὸν χριστόν, καὶ πιστεύων εἰς αὐτόν, σωθήσεται. ὁ δὲ μὴ βλέπων εἰς αὐτόν, μηδὲ πιστεύων, ἀποθανεῖται ὑπὸ τῆς ἁμαρτίας. ἔτι πολέμου γεγονότος μετὰ τῶν ἑβραίων καὶ τῶν ἀμαληκιτῶν, ἐκτείναντος τοῦ μωσέως τὰς χεῖρας αὐτοῦ πρὸς τὸν θεόν, κατετροποῦτο τὸν ἀμαλὴκ ὁ τῶν ἑβραίων λαός. θέντος δ᾽ αὐτὰς κάτω, κατετροποῦτο ὁ ἀμαλὴκ τὸν ἰσραήλ. προσέταξε τοίνυν διὰ τοῦτο ὁ μωϋσῆς δύο τινάς, ὥστε βοηθεῖν αὐτῷ ἐπὶ τῇ ἐκτάσει τῶν τούτου χειρῶν, μέχρις ἂν εἰς τέλος ἡττήθη ὁ ἀμαλήκ. ἰδοὺ καὶ τοῦτο προφανῶς τὸν τοῦ σταυροῦ τύπον ἐδήλου τε καὶ τὴν δύναμιν. ἀλλὰ καὶ ὁ μακάριος ἰακὼβ τοὺς ἐγγόνους αὐτοῦ εὐλογῶν, ἐναλλὰξ καὶ σταυροειδῶς τὰς χεῖρας αὐτοῦ ἐπὶ τῶν κεφαλῶν ἐκείνων ἐπέθηκε, τὸν τύπον τοῦ σταυροῦ ἐκ τότε δεικνύων. ἔτι δὲ τοῦτον σαφέστερόν τε καὶ καθαρώτερον ὁ θεὸς διὰ τοῦ προφήτου ἠσαΐου οὑτωσί φησι, τὰ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες σοι οὐ δουλεύσουσιν, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσονται, ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. πρόσεχον τοίνυν καὶ τόδε πρᾶγμά τι ξένον καὶ ἐξαίσιον. ὥσπερ γὰρ περὶ τοῦ πάθους τοῦ χριστοῦ προηγόρευσαν οἱ προφῆται, καὶ μὴ μόνον τοῦτο, ἀλλὰ καὶ τὸ εἶδος τοῦ πάθους, ἤγουν τό, ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος, καὶ ὤρυξαν χεῖράς μου καὶ πόδας μου, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, καὶ τῶν ὁμοίων τούτοις, οὕτω καὶ ἐπὶ τοῦ σταυροῦ ἔδειξαν μετὰ τὸν τύπον τοῦ σταυροῦ. καὶ ὅτι δι᾽ αὐτοῦ μέλλει καταβληθῆναι ἡ τοῦ διαβόλου τυραννίς. ἀλλὰ καὶ τὴν φύσιν τοῦ ξύλου ὁ ἠσαΐας ἐδήλωσεν εἰπών, ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. ἐξ αὐτῶν καὶ γὰρ τῶν τριῶν ξύλων κατεσκευάσθη ὁ σταυρός. τὸ μὲν ἓν ὄρθιον, τὸ δὲ ἕτερον ἐγκάρσιον, τὸ δὲ ἕτερον κάτωθεν, ἐν ᾧ καὶ προσηλώθησαν οἱ πόδες τοῦ χριστοῦ. ὁ δὲ δαβὶδ οὕτω βοᾷ, ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν. ἰδοὺ γοῦν καὶ περὶ τοῦ σταυροῦ ἱκανά εἰσι τὰ παρὰ τῶν προφητῶν λεχθέντα. ἀλλὰ καὶ ὁ ἰακὼβ εὐ-

λογοῦν, ὡς εἴρηται, τοὺς υἱοὺς ἰωσὴφ, ἐναλλὰξ τὰς χεῖρας ἐπέθηκε, καὶ σταυροειδῶς εὐλόγη-
σεν αὐτούς. προεδήλουν γὰρ οἱ προφῆται, ὅτι διὰ τοῦ σταυροῦ μέλλει καταργηθήσεσθαι ὁ θάνα-
τος, καὶ καταβληθήσεσθαι ὁ διάβολος, προεῖπον περὶ αὐτοῦ, καὶ προσεκύνησαν καὶ ἠσπάζοντο
αὐτὸν μακρόθεν, ὥσπερ καὶ ἡμεῖς κατὰ τὸ παρόν. μετὰ γοῦν τῶν ἄλλων κατηγοριῶν, ὧν παρὰ τῶν
μουσουλμάνων κατηγορούμεθα οἱ χριστιανοί, κατηγορούμεθα καὶ τοῦτο, ὅτι προσκυνοῦμεν τὰς τῶν
ἁγίων εἰκόνας. καὶ τί προσκυνοῦμεν; πάντως οὐδὲν ἄλλο, ἢ ξύλα καὶ χρώματα καὶ πέτρας. ἐπεὶ
γοῦν εἰς ἅπερ κατηγόρουν ἡμῶν, οὐκ ἐγίνωσκον ἅπερ ἔλεγον, ἀλλ' ἐκ τῶν γεννημάτων τῶν καρδιῶν
αὐτῶν ἔλεγον ἅπερ ἔλεγον, τὸ τ' αὐτὸ δεῖ καὶ ἐπὶ τῶν εἰκόνων. καὶ εἰ βούλει μαθεῖν τὴν ἀλήθειαν, ἄκου-
σον δή. γινώσκων ὁ θεὸς τὸ εὐόλισθον τῶν ἀνθρώπων, ἔταξεν ἐπὶ τὸ παλαιόν, ἵνα οἱ ἱερεῖς γρά-
φωσι τὰ γινόμενα παρὰ τοῦ θεοῦ θαύματα, καὶ διαπαντὸς κρέμαντες τὰ γεγραμμένα ἐν ταῖς
χερσὶ τῶν ἱερέων, ἵνα καθημέραν, μᾶλλον δὲ διόλου θεωροῦντες οἵ τε ἱερεῖς καὶ ὁ λαὸς τὰ γεγραμ-
μένα θαύματα τοῦ θεοῦ, τὰ δι' αὐτοὺς γεγονότα, ἔρχωνται εἰς μνήμην αὐτοῦ, καὶ ἀναπέμπωσιν εὐ-
χαριστίαν καὶ δόξαν τῷ θεῷ, τῷ ἐλευθερώσαντι αὐτοὺς ἐκ τῆς δουλείας φαραώ, καὶ καταλύ-
σαντι βασιλεῖς μεγάλους καὶ κραταιούς, καὶ ἔθνη ἰσχυρά, καὶ δόντι τὰς πόλεις αὐτῶν τῷ λαῷ τῶν ἰου-
δαίων, ἀλλὰ δὴ καὶ τὰ ἐν τῇ ἐρήμῳ γεγονότα θαύματα εἰς αὐτοὺς, καὶ ἔτι καθὼς ἐνετεί-
λατο αὐτοῖς ὁ θεός. βλέποντες γὰρ τὰ ἐν χερσὶ τῶν ἱερέων κρεμάμενα, ἤρχοντο εἰς τὴν τοῦ θεοῦ
μνήμην, καὶ ἐδίδουν εὐχαριστίαν τῷ θεῷ. οὕτως δεῖ καὶ ἐπὶ τῶν εἰκόνων. γράφουσι τὴν γέννησιν τοῦ
χριστοῦ, τὴν βάπτισιν, τὴν σταύρωσιν, τὴν ἀνάστασιν. καὶ βλέποντες τὰ πλήθη τῶν ἀνθρώπων, ἔρχον-
ται εἰς μνήμην τοῦ θεοῦ, καὶ ἐνθυμοῦνται, ὅτι πῶς ὢν θεὸς ὁ χριστὸς, διὰ τὴν τῶν ἀνθρώπων ἀγάπην
ἀνελάβετο σάρκα, καὶ ἔπαθε σαρκί, καὶ ὅσα ἄλλα ἐποίησεν ὁ θεὸς διὰ τὸν ἄνθρωπον, καὶ εὐχαρι-
στοῦσι καὶ μεγαλύνουσι καὶ δοξάζουσι τὸν θεόν. τὸ αὐτὸ καὶ ἐπὶ τῆς εἰκόνος τῆς ἁγίας παρθένου τῆς γεν-
νησάσης τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ κατὰ σάρκα, ἀλλὰ δὴ καὶ τῶν μαρτύρων καὶ τῶν ἄλλων πάντων
ἁγίων. καὶ διδόαμεν τιμὴν ταῖς εἰκόσι, διὰ τὴν ἀγάπην καὶ τὴν τιμὴν τῶν ἐχόντων ἁγίας εἰκό-
νας. καὶ ὥσπερ ἐπὶ τὸ παλαιόν, ἔν τε τῇ ῥώμῃ, καὶ ἀλλαχόθεν ἐνήργουν ἀνδριάντας ἐν τοῖς ὀνό-
μασι τῶν κατὰ καιροὺς βασιλέων, ἔτι δὲ καὶ στρατηγῶν, καὶ βλέποντες τοὺς ἀνδριάντας, ἤρχοντο
εἰς μνήμην τῶν κατορθωμάτων τῶν ἐχόντων τοὺς ἀνδριάντας, καὶ διὰ τὸ μεγαλεῖον, ἔτι δὲ καὶ τὴν
ἐκείνων τιμὴν ἀνῆγον εἰς μνήμην τῶν κατορθωμάτων, τῶν ἐχόντων τοὺς ἀνδριάντας, καὶ ἐτίμων
αὐτούς, καθὰ καὶ ἀρτίως ἐν ταῖς στήλαις τῶν βασιλέων, οὕτω καὶ ἐν ταῖς εἰκόσιν ἀνάγοντες τὸν
νοῦν ἡμῶν ἐπὶ τὰ πρωτότυπα, τιμῶμεν τὰς εἰκόνας ἐκείνων. καὶ ὥσπερ πρόσταγμα βασιλέως
διακομισθὲν πρός τινα, ὑπὲρ οὗ πεπαιδευμένος ὁ τοῦτο δεξάμενος, εὐθέως ἀνίσταται, καὶ
οὐ μόνον ἀσπάζεται, ἀλλὰ καὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τίθησι τοῦτο, καὶ οὐ δοκεῖ αὐτῷ ἀσπάζε-
σθαι χάρτην καὶ μέλαν, ἀλλὰ τῷ βασιλεῖ δίδωσι τὴν τούτου τιμήν. οὕτω καὶ ἐπὶ τῶν εἰκόνων, τὰς
ἐν ταῖς σανίσι καὶ εἰκόσι στήλας τιμῶντες προσκυνοῦμεν, τὰς δὲ παλαιωθείσας καὶ ἀπαλειφθεί-
σας, οὐκέτι προσκυνοῦμεν, ἀλλὰ μᾶλλον καὶ ἀργὰς ἔχομεν. τὸ αὐτὸ ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ σταυροῦ.
ἕως ἂν ἔχῃ τὸ ξύλον τύπον τοῦ σταυροῦ προσκυνεῖται, καὶ χειλικῶς ἀσπάζεται παρ' ἡμῶν. διαλυ-
θέντος δὲ τοῦ τύπου τοῦ σταυροῦ, οὐ προσκυνεῖται τὸ ξύλον παρ' ἡμῶν ἐπὶ πλέον. ὅμοιον ἀπὸ τούτου τοῦ παρα-
δείγματος μέλλεις καὶ σύ, καὶ πᾶς τις ἕτερος ὁ βουλόμενος ἐξετάζειν, καταλαβεῖν, ὅτι τὰ περι-
πολιτευόμενα νομίσματα, τὴν εἰκόνα ἔχουσι τοῦ χριστοῦ ἐγκεχαραγμένην καὶ τετυπωμένην, ἀλ-
λὰ δὴ καὶ τῆς ἁγίας αὐτοῦ μητρός, καὶ ἑτέρων ἁγίων. ἀλλ' οὐ προσκυνοῦνται διὰ τοῦτο παρ' ἡμῶν,
οὐδὲ τὴν ὁποιανοῦν τιμὴν ἔχουσι. ῥίπτονται γάρ ἐστιν ὅπου καὶ καταπατοῦνται, καὶ χωνεύονται, καὶ
μεταμείβονται ἀφ' ἑτέρου σχήματος εἰς ἕτερον, καθὼς ὁ ἐπιστάτων ταῦτα βούλεταί τε καὶ προ-
αιρεῖται. ἀλλ' εἰς τὰς ὀνόμασι γραφείσας τῶν ἁγίων εἰκόνας οὐχ οὕτως, ἀλλὰ μετὰ τιμῆς καὶ προσο-
χῆς καὶ εὐλαβείας προσερχόμεθα αὐταῖς. δοκεῖ μοι τοίνυν, ὅτι ἀρκεταί εἰσιν αἱ παροῦσαι ἀπο-
δείξεις, ὡς ἂν δείξωσι καὶ παραστήσωσιν ἐμφανῶς τὴν ἀλήθειαν, καὶ νοήσῃ αὐτὴν ὁ βουλόμενος.
εἰ δέ γε καὶ αὖθις ἀπὸ τοῦ παλαιοῦ ζητεῖς μαρτυρίαν, ὡς καὶ ἐπὶ τῶν ἔμπροσθεν, ἄκουσον καὶ ἐκεῖθεν.
ὁ θεὸς ὁ εἰπὼν τῷ μωϋσεῖ, ποιῆσαι τὴν σκηνὴν τοῦ μαρτυρίου κατὰ τὸν τύπον τὸν δειχθέντα αὐ-
τῷ ἐν τῷ ὄρει, ἔτι δὲ καὶ τὴν κιβωτόν, ἅτινα ἦσαν εἰς τύπον τοῦ χριστοῦ καὶ τῆς ἁγίας αὐτοῦ μη-
τρός, ἅπερ καὶ διὰ τὸ μῆκος τῆς γραφῆς καὶ τῆς ἑρμηνείας ἑκόντι παραλείπω, ὡς καὶ ἐν ἄλ-

λοις

τοῖς πλείστοις, ἔφη αὐτῷ, καὶ ἐποίησεν εἰκόνας τῶν χερουβίμ, καὶ ἔθηκεν ἐπάνω τῆς κιβωτοῦ. ὁρᾷς πῶς τὰ τῶν χριστιανῶν πάντα οὐ γίνονται ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, ἀλλὰ μετὰ μεμεριμνημένου σκοποῦ, καὶ ἀκριβοῦς ἐξετάσεως; διὰ τοῦτο, καὶ ἀπὸ τοῦ νῦν παῦσαι τῶν ἀκαίρων καὶ ἀπροσέκτων σου κατηγοριῶν. ἅπαντα γὰρ τὰ τῶν χριστιανῶν οὐκ εἰκῆ καὶ μάτην ἐγίνοντο, ἀλλὰ μετὰ ἀκριβοῦς καὶ μεγάλης σκέψεως, ἀπὸ τῶν μεγαλωτέρων λέγω μέχρι καὶ τῶν μικροτέρων. καὶ ἔκτοτε ἐτάχθησαν καὶ ἐγράφησαν, καὶ ἀποκατέστησαν ὅσα ἐγίνοντο.

# ΟΤΙ ΣΦΑΛΕΡΩΣ ΚΑΙ ΕΠΙΒΛΑΒΩΣ ΕΔΙΔΑΞΕΝ Ο ΜΩΑΜΕΘ, ΚΑΙ ΟΤΙ ΟΥ ΚΑΤΕΛΥΘΗ Ο ΠΑΛΑΙΟΣ νόμος καὶ ἡ διαθήκη παρὰ τοῦ χριστοῦ, ἀλλὰ μᾶλλον συνέστη, καὶ τὸ τοῦ νόμου ἀσθενὲς καὶ ἀδύνατον ἀνεπλήρωσε τὸ εὐαγγέλιον.

## ΑΠΟΛΟΓΙΑ ΤΕΤΑΡΤΗ.

ΕΠΕΙΔΗ περὶ τῶν ἄλλων, ὧν παρ' ὑμῶν τῶν μουσουλμάνων ἐγκαλούμεθα οἱ χριστιανοί, ἱκανῶς ἀπολελέλεικται, ὥστε εἶναι ἡμᾶς ἀνωτέρους πάσης κατηγορίας, φέρε δὴ λοιπὸν σκεψώμεθα καὶ περὶ τῶν ἑτέρων. ἔστι δὲ τάδε, ὅτι εἶπεν ὁ θεὸς τῷ μωάμεθ, τὰ πάντα ἐποίησα διὰ σέ, καὶ σὲ δι' ἐμέ. καὶ τοῦτο οἱ χριστιανοὶ οὐ παραδέχονται. ἀλλὰ καὶ τὸ τοῦ μωάμεθ ὄνομα γεγραμμένον εὑρίσκετο ἐν τῷ εὐαγγελίῳ, εἰπόντος τοῦ χριστοῦ τοῖς ἰουδαίοις, ὅτι εὐαγγελίζομαι ὑμῖν, ἵνα γινώσκητε, ὅτι μετ' ἐμὲ μέλλει ἐλθεῖν ὁ ἀπόστολος καὶ προφήτης. τὸ αὐτὸ ἐστὶ γεγραμμένον καὶ ἐν τῷ τοῦ μωσέως παλαιῷ. οἱ δὲ χριστιανοὶ φθονήσαντες ἐξέβαλον αὐτὸ ἀπὸ τοῦ εὐαγγελίου. καὶ ὅτι μὴ μόνον εἰς τὸ εὐαγγέλιον καὶ τὸ παλαιὸν εὑρίσκετο γεγραμμένον τὸ τοῦ μωάμεθ ὄνομα, ἀλλὰ καὶ ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ θρόνου τοῦ θεοῦ εὑρίσκεται γεγραμμένον. καὶ ὅτι ἡ τῶν μουσουλμάνων πίστις ἀπὸ τοῦ ἀβραὰμ εὑρίσκεται, καὶ ὅτι παραβάντες οἱ χριστιανοὶ τὸν μωσαϊκὸν νόμον, εἰσὶν ἄξιοι κατηγορίας καὶ μέμψεως. κατηγοροῦσι δὲ τοὺς μουσουλμάνους, τοὺς ἀξίους ἐπαίνου καὶ τιμῆς. ταῦτά εἰσιν ἃ παρὰ τῶν μουσουλμάνων κατηγορούμεθα οἱ χριστιανοί. ἀπολογούμεθα δὲ οὕτως, ὅτι θεὸς ἐνδεὴς καὶ χρείαν τινὸς ἔχων, οὐκ ἔστι θεός. ἀλλ' ὁ ἀληθὴς θεός, ὁ ποιητὴς οὐρανοῦ τε καὶ γῆς, καὶ πάντων τῶν δημιουργηθέντων ἐν αὐτοῖς, ὁ ποιήσας τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους, χρείαν τινὸς οὐκ εἶχεν, ἀλλὰ διὰ μόνην ἀγαθότητα καὶ θέλησιν ἐποίησε τὰ πάντα. ἐπεὶ γοῦν τοῦτο οὕτως ἔχει, καὶ οὐδείς ἐστιν ὁ ἀντιλέγων, ἄρα κακῶς ἐφθέγξατο ὁ μωάμεθ, ὡς δῆθεν εἶπε πρὸς αὐτὸν ὁ θεός, ὅτι τὰ πάντα ἐποίησα διὰ σέ, καὶ σὲ δι' ἐμέ. ὁ γὰρ θεὸς χρείαν τινὸς οὐκ ἔχει. ὅτι δὲ ἡ τῶν μουσουλμάνων πίστις οὐκ ἔστιν ἀπὸ τοῦ ἀβραάμ, ὡς ὁ μωάμεθ λέγει, ἐξ αὐτοῦ τοῦ μωάμεθ ἔχει τὸν ἔλεγχον. αὐτὸς γάρ ἐστιν ὁ ἀρχηγὸς καὶ νομοθέτης τῶν τοιούτων δογμάτων. εἰ δὲ ἔστιν ἕτερος, δειχθήτω. καὶ γὰρ ἀπὸ τοῦ ἀβραὰμ ἕως τοῦ μωάμεθ παρῆλθον χρόνοι                καὶ μετὰ ταῦτα ἐφάνη ὁ μαχούμετ. οὐκοῦν οὐκ ἔστιν ἡ τῶν μουσουλμάνων πίστις ἀπὸ τοῦ ἀβραάμ. εἰ δ' ἴσως λέγετε τοῦτο διὰ τὴν περιτομήν, ἐγώ σοι ἐρῶ τὸν λόγον τῆς περιτομῆς. ὁ ἀβραὰμ θεασάμενος τὸν οὐρανόν, τὸν ἥλιον, τοὺς ἀστέρας, τὴν γῆν, τὴν θάλασσαν, καὶ τὰ ἐν αὐτοῖς, ἀνελογίσατο καθ' ἑαυτόν, καὶ εἶπεν. ἆρα τὰ τοιαῦτα ἔργα μεγάλα οὕτως, καὶ ἐξαίσια ὄντα, ἁπλῶς οὕτω καὶ αὐτομάτως ἐγίνοντο, ἢ ἔχουσι καί τινα τὸν ποιήσαντα αὐτά. θεασάμενος τοίνυν, ὡς εἴρηται, τὴν καλλονὴν τῶν κτισμάτων, ἐθαύμαζε καὶ ἐξεπλήττετο, καὶ ἐσκέπτετο κατὰ νοῦν, μήπως οὐκ ἔχουσι τινὰ τὸν ποιήσαντα αὐτά, ἀλλὰ μᾶλλον ταῦτα εἰσὶ θεοί, καθὼς ἐνόμιζον καὶ οἱ γονεῖς αὐτοῦ, καὶ πάντες οἱ εἰδωλολάτραι. καὶ ὅτι μὲν ὁ θεὸς ἐποίησε τὰ πάντα καλὰ λίαν, καὶ ἄξια τῆς αὐτοῦ ἐνεργείας, ὡς ἂν διὰ τῆς θεωρίας τούτων ἀνάγωνται πάντες ἄνθρωποι εἰς θεογνωσίαν, καὶ μεγαλύνωσι, καὶ